1 Hsch. μ 352 μαστεύει· ζητεῖ, ἐρευνᾷ, ψηλαφᾷ, ἐπιζητεῖ. **2** Lex. Herm. p. 341, § 143 καλῶ τὸ ὀνομάζω, ὡς παρὰ Πλάτωνι (Gorg. 463b), «καλῶ δέ ἐγω αὐτοῦ τὸ κεφάλαιον κολακείαν» (= An. Par. IV, p. 258, 5 e Paris. gr. 2720). **5** Hsch. π 3796 *προσίασι· προσέρχονται, προσφέρουσι. Cf. schol. I 1 (p. 2, 1) ad προσίασι. **6–2,5** Planud. Epim. p. 72 Lindstam ἀνάγεται μὲν ἡ ναῦς ἀπὸ γῆς εἰς πέλαγος. κατάγεται δὲ καὶ καταίρει ἀπὸ τοῦ πελάγους εἰς γῆν. κατάγονται δὲ καὶ οἱ φυγάδες εἰς τὴν πατρίδα ἐπανιόντες. κατάγεται καὶ ὁδοιπορῶν εἰς καταγώγιον. [Moschop.] Voc. Att. s.v. ἀνάγεσθαι λέγομεν τὴν ναῦν, ὅτε ἀπὸ γῆς εἰς πέλαγος ἔρχεται. κατάγεσθαι δὲ καὶ καταίρειν, ὅτε ἀπὸ πελάγους εἰς γῆν. λέγεται δὲ τὸ κατάγεσθαι κατὰ μεταφορὰν ἀπὸ τούτου καὶ ἐπὶ τῶν ὁδοιπορούντων, ὅταν εἰς καταγώγιον ἔλθωσι, καὶ ἐπὶ τῶν φυγάδων, ὅταν εἰς τὴν ἑαυτῶν ἐπανέρχωνται πατρίδα. **16** Schol. Eur. Tr. 1126 αὐτὸς δ' ἀνῆκται· ἀναγωγὴ λέγεται ἡ ἀπὸ τοῦ λιμένος εἰς τὸ πέλαγος ἀναχώρησις· δοκεῖ γὰρ ὑψηλοτέρα εἶναι θάλασσα τῆς γῆς. Schol. Hom. Il. XIV 77 ὕψι δ' ἐπ' εὐνάων ὁρμίσσομεν· τὸ γὰρ ὑγρὸν ὑψηλότερον τῆς γῆς· διὸ ἀνάπλους μὲν ἡ ἀναγωγή, κατάπλους δὲ ἡ προσόρμισις. καὶ «ὑψοῦ δ' ἐν νοτίῳ τήν γ' ὅρμισαν» (Hom. Od. IV 785).

7 ἔρχεται h n ἔρχεσθαι s **8** λέγεται δὲ κατάγεσθαι n | τὸ om. s **10** ἐπανέρχονται h n

λέγεται τὸ κατάγεσθαι κατὰ μεταφορὰν ἐπὶ τούτου καὶ ἐπὶ τῶν ὁδοιπορούντων, ὅταν εἰς καταγώγιον, ἤγουν ξενοδοχεῖον, ἔλθωσιν. τὸ κατάγεσθαι λέγεται καὶ ἐπὶ τῶν φυγάδων, ὅταν εἰς τὴν ἑαυτῶν ἐπανέρχωνται καὶ ὑποστρέφωσι πατρίδα, καὶ κατελθεῖν αὐτούς φασιν. *y*

plan c. ἐλλιμενίσῃ, εἰς τὸ λιμένα ἔλθῃ. *y*

plan **I 1 (p. 2, 1)** ‹ξένος·› ἀπὸ ξένης χώρας. *y*

plan **I 1 (p. 2, 1)** ‹οἵ·› οἱ ἐρῳδιοί. *hmns*

plan **I 1 (p. 2, 1)** ‹προσίασι·› προσέρχονται. *y*

plan **I 1 (p. 2, 2)** ‹πτέρυγας·› τὰς ἑαυτῶν. *y*

plan **I 1 (p. 2, 2)** ‹ἁπλώσαντες·› ἐκτείναντες. *y*

plan **I 1 (p. 2, 2)** ‹οἱονεί·› καθάπερ. *y*

plan **I 1 (p. 2, 2)** ‹χεῖρας·› ἁπλώσαντες. *y*

plan **I 1 (p. 2, 2)** ‹δεξίωσιν·› a. δεξίωσις κυρίως ὅταν ὑποδέχηταί τίς τινα τὴν δεξιὰν αὐτοῦ χεῖρα προτείνων, καὶ ἀπὸ τούτου ἁπλῶς ἐπὶ τῶν χάριν ποιούντων πρός τινας. *hlmy*

plan b. φιλοφροσύνην. *y*

plan **I 1 (p. 2, 3)** ‹περιπλοκάς·› ἀσπασμούς. *y*

plan **I 1 (p. 2, 3)** ‹ἁπτομένων·› τῶν ἐρῳδιῶν. *y*

plan **I 1 (p. 2, 3)** ‹οὐχ ὑποφεύγουσιν·› οὐ μετρίως ἐκκλίνουσιν. *y*

plan **I 1 (p. 2, 4)** ‹ἀτρεμοῦσι·› ἠρεμοῦσι. *y*

plan **I 1 (p. 2, 4)** ‹ἀνέχονται·› ὑπομένουσι. *hmnsy*

plan **I 1 (p. 2, 4)** ‹καθημένων·› τῶν Ἑλλήνων δηλονότι. *hmnsy*

plan **I 1 (p. 2, 5)** ‹ὥσπερ·› καθάπερ. *y*

6 Schol. Aristoph. Eq. 1367a καταγομένοις· καταίρουσιν, ἐλλιμενίζουσιν. **7** Lex. Vind. ξ 6 ξένος καὶ ὁ δεχόμενος τὸν ξένον καὶ ὁ ἀπὸ ξένης ἥκων. **9** Cf. schol. 1, 1 (p. 1, 28) ad προσίασιν. **11** Hsch. ε 1698 ἐκτείνας· ἁπλώσας, τανύσας. **14–16** Planud. Epim. ined. ($ε^6$ f. 107^r, $ε^9$ f. 106^v) = [Moschop.] Voc. Att. s.v. δεξίωσις κυρίως ὅταν δέχηταί [ὑποδέχηται $ε^6ε^9$] τίς τινα τὴν δεξιὰν αὐτοῦ χεῖρα προτείνων, καὶ ἀπὸ τούτου ἁπλῶς ἐπὶ τῶν χάριν ποιούντων πρός τινας. **17** Syn. φ 133 φιλοφροσύνη· δεξίωσις ἢ προσήνεια (Su. φ 440; Phot. φ 204). **21** Erotian. α 97 ἀτρεμέοντα· ἠρεμοῦντα. Hsch. η 750 *ἠρέμα· ἀτρέμα. **22** [Moschop.] Voc. Att. s.v. ἀνέχομαι δὲ παθητικῶς τὸ ὑπομένω, αἰτιατικῇ. Cf. schol. I 9 (p. 6, 5) ad ἀνέχονται. **24** Hsch. ω 446 *ὥσπερ· καθώς, καθάπερ.

14 ὑποδέχεται l **15** ἐπὶ τούτου y **23** δηλονότι om. s y

I 1 (p. 2, 5) ‹ξενίᾳ·› ξενοδοχίᾳ. ξενία λέγεται ἡ τῶν ξένων ὑποδοχή. *y* plan

I 1 (p. 2, 6) ‹ἑταῖροι·› φίλοι. *y* plan

I 1 (p. 2, 6) ‹οἳ σὺν αὐτῷ·› λέγονται. *y* plan

I 1 (p. 2, 6) a. ‹τῶν ὅπλων·› ὅπλα λέγεται τὰ φυλακτήρια, οἷον θώραξ, κράνος, κνημῖδες. ἀμυντήρια δέ, δι᾽ ὧν μάχεταί τις, οἷον· σπάθη, μάχαιρα. *hmns* plan

b. ὅπλα λέγονται τὰ φυλακτήρια, οἷον θώραξ, κράνος, κνημῖδες. ἀμυντήρια δέ, δι᾽ ὧν μάχεταί τις, οἷον· σπάθη, μάχαιρα, αἰχμή, βέλη τὰ πεμπόμενα διὰ τόξου. *y* plan

I 1 (p. 2, 7) ‹μετεσχηκέναι·› κοινωνοὶ εἶναι. *y* plan

I 1 (p. 2, 7) a. ‹τὴν προτέραν·› τὸ πρότερον λέγεται ἐπὶ δύο· τὸ δὲ πρῶτον ἐπὶ πολλῶν. *nsy* plan

b. ‹τὴν προτέραν φύσιν·› τὴν ἀνθρωπίνην οὐσίαν. *y* plan

I 1 (p. 2, 7) a. ‹τῶν ὀρνίθων·› ὄρνιθες ἁπλῶς μὲν πάντα τὰ plan

1–2 Hsch ξ 43 ξενία· ὑποδοχή, φιλοτιμία, *φιλία. δῶρα (Eur. Hec. 794). **3** Cf. schol. I 4 (p. 3, 25) ad ἑταῖρον. **5–10** [Moschop.] Voc. Att. s.v. ὅπλα κυρίως τὰ φυλακτήρια, οἷον θώραξ, κράνος, κνημῖδες. ἀμυντήρια δέ, δι᾽ ὧν μαχόμενός τις ἀμύνεται τοὺς ἐχθροὺς αὐτοῦ, οἷον σπάθη, μάχαιρα, ἔγχος. Schol. Anth. Pal. IX 440, 28 p. 41 Luppino ὅπλα τὰ φυλακτήρια. ἐνταῦθα δὲ τὸ τόξον καὶ τὰ βέλη καὶ τὴν φαρέτραν λέγει ὅπλα, ἃ ἀμυντήρια μᾶλλον λέγεται ὥσπερ ἡ σπάθη καὶ τὰ ἀκόντια καὶ τἄλλα δι᾽ ὧν ἀμύνεταί τις. Schol. Eur. Hec. 14b (ed. Dindorf) ὅπλα· τὰ φυλακτήρια, οἷον θώραξ, κράνος· ἔγχος δὲ καὶ σπάθη ἀμυντήρια. **11** Schol. Eur. Ph. 1709 (ed. Dindorf) κοινοῦσθαι· μετέχειν. κοινωνὸς εἶναι. **12–13** [Moschop.] Voc. Att. s.v. τὸ πρότερον λέγεται ἐπὶ δύο· τὸ δὲ πρῶτον ἐπὶ πολλῶν. **15–4,3** [Moschop.] Voc. Att. s.v. ὄρνιθες ἁπλῶς μὲν πάντα τὰ πετόμενα. ἰδίως δὲ οἱ εἰς μαντείαν συντείνοντες, καὶ ἀπὸ τούτου καὶ ἡ μαντεία, ὡς τὸ «δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ» (Aristoph. Plut. 63). ἀφ᾽ οὗ καὶ πᾶν τὸ εἰς μαντείαν συντεῖνον ὄρνιν ἐκάλουν, οἷον πταρμὸν ἢ παλμὸν ἢ τοιοῦτό τι. Thom. Mag. Ecl. pp. 256, 13–257, 7 ὄρνιθες ἁπλῶς μὲν πάντα τὰ πετόμενα· ἰδίως δὲ οἱ εἰς μαντείαν συντελοῦντες ὄρνιθες, ἀφ᾽ οὗ καὶ πᾶν τὸ εἰς μαντείαν συντεῖνον ὄρνιν ἔλεγον, οἷον πταρμὸν ἢ παλμὸν ἤ τι τοιοῦτον. καὶ τὴν ἁπλῶς δὲ μαντείαν ὄρνιν ἐκάλουν. Ἀριστοφάνης ἐν Πλούτῳ (63)· «δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ». Schol. Soph. Oed. tyr. 52 ὄρνιθες ἁπλῶς μὲν πάντα τὰ πετόμενα, ἰδίως δὲ οἱ εἰς μαντείαν συντείνοντες· ἀφ᾽ οὗ ἔλεγον καὶ πᾶν τὸ εἰς μαντείαν συντεῖνον ὄρνιν, οἷον πταρμόν, ἢ παλμόν, ἢ τοιοῦτό τι. οὐ μόνον δὲ τὰ εἰς μαντείαν συντείνοντα, ἀλλ᾽ ἤδη καὶ αὐτὴν ἁπλῶς τὴν μαντείαν ὄρνιν καλοῦσιν, καθ᾽ ὃ λέγεται ἐνταῦθα.

5 λέγεται h m n λέγονται s **15** μὲν ἁπλῶς n s

πετόμενα, ἰδίως δὲ οἱ εἰς μαντείαν συντείνοντες, ἀφ᾽ οὗ ἔλεγον καὶ πᾶν τὸ εἰς μαντείαν συντεῖνον ὄρνιν, οἷον πταρμὸν ἢ παλμὸν ἢ τοιοῦτό τι. *hlmnsy*

plan b. πτηνῶν. *y*

plan **I 1 (p. 2, 8)** ‹μετεβάλοντο·› μετέτρεψαν. *y*

plan **I 1 (p. 2, 8)** ‹εἶδος·› μορφήν. *y*

plan **I 1 (p. 2, 8)** ‹διαφυλάττουσι·› τηροῦσι. *y*

plan **I 2 (p. 2, 10)** ‹πόας·› βοτάνας. *y*

plan **I 2 (p. 2, 10)** ‹σιτεῖται·› ἐσθίει. *hmns*

plan **I 2 (p. 2, 10–11)** a. ‹λαγνίστατος·› λάγνος ἐπὶ ἀνδρῶν, ἤγουν λίαν γόνιμος, μαχλὰς ἐπὶ γυναικῶν. *hlmns*

plan b. λάγνος ἐπὶ ἀνδρῶν, ὁ λίαν γόνιμος, μαχλὰς ἐπὶ γυναικῶν, ἡ ἐρῶσα τῆς συνουσίας τῶν ἀνδρῶν. *y*

plan c. λίαν ἄπληστος εἰς ἀφροδίσια. *y*

plan **I 2 (p. 2, 11)** a. ‹ἦν·› ἀντὶ τοῦ ἐστὶν ἀττικῶς. *hmns*

plan b. ἔστιν. *y*

plan c. τὸ ἦν ἀντὶ τοῦ ἐστὶν ἀττικῶς, ὡς ἐνταῦθα «λαγνίστατος ἰχθύων πάντων ἦν». *y*

plan **I 2 (p. 2, 12)** ‹ἀκόρεστος·› ἀχόρταστος. *y*

8 Hsch π 2655 *πόα· βοτάνη ἑκάστη, καὶ πόα καὶ ἡ τῆς γῆς αὐτομάτως βλαστάνουσα φυτεία καὶ ὁ σῖτος. καὶ κοινῶς τὸ ἀπὸ ῥίζης φυλλοβολοῦν φυτόν. **9** Hsch. σ 770 σιτούμενος· ἐσθίων (Aristoph. Eq. 414. 416). Syn. σ 94 σιτούμενος· ἐσθίων (Su. σ 504. Phot. σ 252). Gennad. Schol. Gramm. p. 483 σιτοῦμαι, τὸ ἐσθίω. **10–13** [Hdn.] Philet. 228 λάγνος ἐπὶ τῶν ἀνδρῶν· οὕτως Ἀριστοφάνης (fr. 534 K.-A.)· παρά τισι λάγνης· μάχλος δὲ ἐπὶ τῶν γυναικῶν· καὶ μαχλάς, ὡς Μένανδρος (fr. 495 K.-A.). καί ἐστι λάγνος σύνθετον ἐκ τοῦ λα ἐπιτατικοῦ μορίου καὶ τοῦ γόνος· ἔστι γὰρ πολύγονος. Planud. Epim. ined. (ε^{6} f. 107^{r}, ε^{9} f. 106^{v}) λάγνος (λάγνως ε^{6}) ἐπὶ ἀνδρῶν [ἀνδρός ε^{9}], ἤγουν λίαν γόνιμος, μαχλὰς ἐπὶ γυναικῶν. **15** Planud. Epim. ined. (ε^{6} f. 107^{r}, ε^{9} f. 106^{v}) ἦν ἀντὶ τοῦ ἐστὶν ἀττικῶς. Schol. Aristoph. Plut. 406 (ed. Dübner) πολλάκις οἱ Ἀττικοὶ λαμβάνουσιν τὸν παρατατικὸν ἀντὶ ἐνεστῶτος, ὡς τὸ ἦν ἀντὶ τοῦ ἐστίν, καὶ τὸ ἐχρῆν ἀντὶ τοῦ χρή. Cf. schol. X 12 (p. 237, 6) ad ἦν. **19** Hsch α 39 ἄατος· χαλεπός, δυσχερής· *ἀκόρεστος, ἀχόρταστος. Schol. Opp. Hal. I 698 ἀκόρεστον· ἀχόρταστον.

9 ἐσθίειν s **10** ἐπὶ τοῦ ἀνδρός n s **11** ἤγουν h l m ἤτοι n s | τὰ ante ἐπὶ γυναικῶν add. n μαχλὰς δὲ ἐπὶ γυναικός s **15** ἀντὶ τοῦ om. s ἀντὶ τοῦ ἐστὶν om. n

I 2 (p. 2, 12) a. ‹ἁλώσεως·› ἅλωσις καὶ ἁλωτὸς καὶ ἀνάλωτος κυρίως ἐπὶ τῶν κρατουμένων ἐν πολέμῳ λέγεται ἢ μὴ κρατουμένων, καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἄλλως κρατουμένων ἢ μὴ κρατουμένων. *hlmnsy* plan

b. κρατήσεως. *y* plan

I 2 (p. 2, 12) ‹αἰτία·› πρόξενος. *y* plan

I 2 (p. 2, 13) ‹αὐτῷ συνεγνωκότες·› μετ᾽ αὐτοῦ ἐγνωκότες. *y* plan

I 2 (p. 2, 13) ‹σοφοὶ τῶν ἁλιέων·› εἰδήμονες τῆς ἁλιευτικῆς τέχνης. *y* plan

I 2 (p. 2, 13) ‹τῶν ἁλιέων·› ἀπό. *hmn* plan

I 2 (p. 2, 13) ‹ἐπιτίθενταί οἱ·› βαρέως ἔρχονται αὐτῷ. *hmny* plan

I 2 (p. 2, 13) ‹οἱ·› αὐτῷ. *y* plan

I 2 (p. 2, 13–14) ‹τὸν τρόπον τοῦτον·› κατὰ ταύτην τὴν ὁδόν. *hmny* plan

I 2 (p. 2, 14) ‹συλλάβωσιν·› κρατήσωσιν. *y* plan

I 2 (p. 2, 14) a. ‹ὁρμιᾷ·› διὰ ὁρμιᾶς λεπτῆς. *hmn* plan

b. διὰ μιᾶς ὁρμιᾶς. ὁρμιὰ ἡ λεπτὴ σχοῖνος λέγεται. *y* plan

I 2 (p. 2, 14) ‹σπάρτου·› ἀπό. *hmny* plan

I 2 (p. 2, 15) ‹τοῦ στόματος ἄκρου·› ἀπὸ τοῦ ἄκρου στόματος. *hmny* plan

I 2 (p. 2, 15) ‹ἐπισύρουσι·› ἐπάγονται. *hmny* plan

I 2 (p. 2, 16) ‹ἴσασι·› γινώσκουσι. *hmny* plan

I 2 (p. 2, 16) ‹εὐνάς›· τοὺς τόπους ἔνθα κοιτάζονται. *hmny* plan

I 2 (p. 2, 16) a. ‹διατριβάς·› τοὺς τόπους ἔνθα διατρίβουσιν. *hmny* plan

1–4 [Moschop.] Voc. Att. s.v. ἅλωσις καὶ ἁλωτὸς καὶ ἀνάλωτος κυρίως ἐπὶ τῶν κρατουμένων ἐν πολέμῳ λέγεται ἢ μὴ κρατουμένων, καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἄλλως κρατουμένων ἢ μὴ κρατουμένων. **6** [Zon.] s.v. αἰτία· ἡ ἀρχὴ τῆς ἀρχῆς, ἤγουν ἡ πηγὴ καὶ ἡ ῥίζα. ἡ αἰτία καὶ ἡ πρόξενος. **12** Cf. schol. I 3 (p. 3, 7) ad οἱ. **17** Hsch. ο 1253 ὁρμιά· σχοινίον λεπτόν. **21** Schol. Eur. Med. 461 (ed. Dindorf) ἐφέλκεται· ἐπάγεται, ἐπισύρεται. Cf. schol. I 2 (p. 2, 19) ad ἐπισύρεται. **22** Hsch. ι 911 *ἴσασιν· οἴδασι (Act. ap. 26,4), γινώσκουσι (Hom. Il. VI 151). Su. ι 615 ἴσασι· γινώσκουσιν. Cf. schol. IV 61 (p. 99, 22) ad ἴσασι.

1 καὶ ante ἁλωτὸς om. n s **2** ἐν πολέμῳ om. n s **2–3** ἢ μὴ κρατουμένων h l m n s καὶ μὴ κρατουμένων y **3–4** λέγεται ἢ μὴ κρατουμένων h l m y ἢ μὴ λέγεται n s **11** αὐτῷ om. y **16** ‹ὁρμι›ᾶς n **19–20** τοῦ ante στόματος add. n **23** κατοικίζονται n **24** τοὺς om. n

plan b. τοὺς τόπους ἔνθα διάγουσι. *y*

plan **I 2 (p. 2, 17)** ‹ὅπου·› ἐν ποίοις τόποις. *y*

plan **I 2 (p. 2, 17)** ‹συναγελάζονται·› συναθροίζονται. *hmny*

plan **I 2 (p. 2, 17)** ‹αὐτοῖς·› ὑπ᾿ αὐτῶν. *hmny*

plan **I 2 (p. 2, 17)** ‹πεποίηται·› ἐποιήθη. *y*

plan **I 2 (p. 2, 18)** a. ‹τὴν ὁλκήν·› κατά· ἤγουν τὸν σταθμόν. *hmn*

plan b. κατὰ τὸ ποσὸν καὶ τὸν σταθμόν. *y*

plan **I 2 (p. 2, 18)** a. ‹περιφερὴς τὸ σχῆμα·› κυκλοτερὴς κατὰ ‹τὸ σχῆμα›. *ny*

plan **I 2 (p. 2, 18)** ‹μῆκος·› μάκρος. *hmny*

plan **I 2 (p. 2, 19)** ‹διείληπται·› κεκράτηται. *y*

plan **I 2 (p. 2, 19)** ‹σχοίνῳ·› διὰ σχοίνου. *y*

plan **I 2 (p. 2, 19)** ‹ἐπισύρεται·› a. τὸ ἐπισύρεσθαι καὶ ἐπάγεσθαι ὅταν ἐφ᾿ ἑαυτόν τις ἄγῃ τινὰ λέγεται. *hmnsy*

plan b. ἐπάγεται. *y*

plan **I 2 (p. 2, 19)** ‹τεθηραμένον·› ἠγρευμένον ἰχθῦν. *y*

plan **I 2 (p. 2, 20)** ‹τις τῶν ἐν τῇ πορθμίδι·› τις ἀπὸ τῶν ὄντων ἐν τῷ πλοιαρίῳ. *hmy*

plan **I 2 (p. 2, 20)** ‹τῶν ἐν τῇ πορθμίδι·› ἀπό. *n*

plan **I 2 (p. 2, 20)** ‹πορθμίδι·› πλοιαρίῳ. *n*

plan **I 2 (p. 2, 20)** ‹παραρτήσας·› παρακρεμάσας. *hmny*

plan **I 2 (p. 2, 20)** ‹ἐπάγεται·› ἐπισύρεται. *y*

plan **I 2 (p. 2, 20)** ‹εὐρύν·› πλατύν. *hmny*

plan **I 2 (p. 2, 21)** ‹τὸ στόμα·› κατά. *hmny*

plan **I 2 (p. 2, 21)** ‹ἑαλωκότα·› κρατηθέντα. *y*

plan **I 2 (p. 2, 21)** ‹τέτραπται·› ἀφορᾷ. *hmny*

plan **I 2 (p. 2, 22)** ‹βαρεῖται·› ὑπὸ βάρους κατέρχεται. *y*

6–8 Hsch. ο 582 ὁλκή· δύναμις. ῥοπή. ἰσχύς. βάρος. ῥυτήρ, [ἢ ῥυρή] σταθμός. Cyr. ο 74 Hag. ὁλκή· δύναμις. Syn. ο 110 ὁλκῇ· δυνάμει ἢ βάρει ἢ σταθμῷ (Su. ο 174; Phot. ο 225). **9** Hsch. κ 4479 κυκλοτερές· περιφερές. ἐπικαμπές (Hom. Il. IV 124). **11** Hsch. μ 1176 μῆκος· μάκρος. **14–16** Cf. schol. 1, 2 (p. 2, 15) ad ἐπισύρουσι. **24** Schol. D Hom. Il. I 229 εὐρύν· πλατὺν καὶ μέγιστον. Lex. Coisl. in Greg. Naz. ε 433 εὐρὺν· πλατύν. **26** Cf. schol. I 2 (p. 3, 2) ad ἑαλώκασι.

4 ἀπὸ ‹αὐτ›ῶν n **6** κατά· ἤγουν om. n **15** τινὰ h m τὶ n s | λέγεται post ἐπάγεσθαι transp. y **18** τις om. y

I 2 (p. 2, 22) ‹ἡσυχῇ·› μετρίως. *hmn* plan

I 2 (p. 2, 22) ‹οὗτος·› ὁ κύρτος. *y* plan

I 2 (p. 2, 22) ‹λίθῳ·› ὑπὸ λίθου. *hmny* plan

I 2 (p. 2, 23) ‹ὥσπερ·› καθά. *y* plan

I 2 (p. 2, 23) ‹νύμφην ἐρωτικήν·› χάριτας ἐρώτων ἔχουσαν. *hmny* plan

I 2 (p. 2, 23) ‹θεασάμενοι·› ἰδόντες. *y* plan

I 2 (p. 2, 23) ‹οἰστροῦνται·› μαίνονται· ἡ μεταφορὰ ἀπὸ τῶν βοῶν τῶν ἐλαυνομένων τῷ ζωυφίῳ τῷ λεγομένῳ οἴστρῳ. *hmnsy* plan

I 2 (p. 2, 24) ‹μεταθέουσι·› ἀκολουθοῦσι. *hmny* plan

I 2 (p. 2, 24) ‹ἐπείγονται·› σπεύδουσι. *hmsy* plan

I 2 (p. 2, 24) a. ‹φθάσαι·› τὸ φθάνειν, ὅτε μὲν πρὸς τὸ τέλος λέγεται τῆς κινήσεως, τὸ καταλαμβάνειν δηλοῖ, ὅτε δὲ πρός τινα ἐρίζοντα, τὸ προλαμβάνειν. ἀπὸ τούτων δὲ κατὰ μεταφορὰν λέγεται καὶ τὸ διαρκεῖν. *hlmns* plan

b. τὸ φθάνειν, ὅτε μὲν πρὸς τὸ τέλος λέγεται τῆς κινήσεως, τὸ καταλαμβάνειν δηλοῖ, οἷον ὁ δεῖνα ἔφθασε πρὸς τὸ ἄκρον τῆς ἀρετῆς, οἷον κατέλαβεν· ὅτε δὲ λέγεται πρός τινα ἐρίζοντα, τὸ προλαμβάνειν δηλοῖ· «καὶ ἐπείγεται φθάσαι ἄλλος ἄλλον», ἤγουν σπεύδει προλαβεῖν ἄλλος ἄλλον, καὶ τὸ ἔσπευδον φθάσαι τὸν plan

7 Cf. schol. I 24 (p. 13, 10) ad θεάσαιο. **8–9** Planud. Epim. ined. (ε^{6} f. 107^{r}, ε^{9} f. 106^{v}) οἰστροῦνται ἤγουν μαίνονται· ἡ μεταφορὰ ἀπὸ τῶν βοῶν τῶν ἐλαυνομένων τῷ ζωυφίῳ τῷ λεγομένῳ οἴστρῳ. Schol. Opp. Hal. I 252 οἶστρος· ἔρως, μανία, ἐρεθισμός, κυρίως δ' οἶστρός ἐστι ζωΰφιον ἐμφυόμενον ταῖς τῶν βοῶν λαγόσι καὶ ποιῶν ἐκείνους πλανᾶσθαι, καὶ γίνεται ἀπὸ τοῦ οἴω τὸ κομίζω. **11** Hsch. ε 4317 ἔπειγε· πορεύου. σπεῦδε. Moschop. Sched. p. 152 ἐπείγω ἀντὶ τοῦ ἐπισπεύδω. **12–8,3** Thom. Mag. Ecl. pp. 381, 19–382, 8 τὸ φθάνειν ὅταν μὲν πρός τινα ἐρίζοντα λέγηται, τὸ προλαμβάνειν δηλοῖ· ὅταν δὲ πρὸς τὸ τέλος τῆς κινήσεως ὁ κινούμενος ᾖ, τὸ καταλαμβάνειν. καθὸ σημαινόμενον λέγεται τὸ οὐκ ἂν φθάνοις ἰὼν εἰς τὸ δικαστήριον, ἤγουν οὐκ ἂν καταλαμβάνοις τοὺς ἕλκοντας, οὕτω σε ἕλξουσι συντόμως. ἀπὸ μεταφορᾶς τούτου λέγεται καὶ ἐφ' ἑτέρων, οἷον οὐκ ἂν φθάνοιτε ἀποθνήσκοντες, ἤγουν ἀνάρπαστοι γενήσεσθε. ἀπὸ τούτου αὖθις κατὰ μεταφορὰν καὶ τὸ διαρκεῖν.

3 ‹λίθ›ου n **5** κατὰ ante χάριτας add. y **5–6** ἔχουσα n **8** μαίνονται om. s καταφορὰ n **9** ἤγουν σπεύδουσι post οἴστρῳ add. s, sed ad ἐπείγονται referendum **13** πρός τινα h l m $n^{p.c.}$ πρὸς τὸν s **14** ἀπὸ τούτου h **19** προσλαμβάνειν y : correxi

ἔσχατον ἀγῶνα, ἤγουν προλαβεῖν. ἀπὸ τούτων δὲ κατὰ μεταφορὰν λέγεται καὶ τὸ διαρκεῖν· ἔφθασε δ᾽ οὗτος μέχρι καὶ ἑξήκοντα ἐτῶν ἀσκῶν ἀρετήν, ἤγουν διήρκεσεν. *y*

plan c. προλαβεῖν. *y*

plan **I 2 (p. 2, 25)** ‹παραψαῦσαι·› μετρίως ψαῦσαι. *hmy*

plan **I 2 (p. 2, 25)** a. ‹δυσέρωτες·› ἄνθρωποί τινος ἐρῶντες καὶ δυσκόλως τυγχάνοντες τοῦ ἐρωμένου. *y*

plan b. δύσερως ἄνθρωπος ὁ ἐρῶν μέν τινος, εἶτα δυσκόλως τυγχάνων τοῦ ἐρωμένου καὶ μὴ θέλγων τὸν ἐρώμενον αὐτοῦ, ὥστε πρᾶξαι τὰ ἐραστὰ καὶ ἀρέσκοντα ἑαυτῷ· ἀπὸ ΔΥΣ τὸ δύσκολον καὶ τοῦ ἔρως. δυσέρως ὁ ἀμήχανον ἔχων ἔρωτα καὶ μὴ δυνάμενος εὐκόλως τυγχάνειν τοῦ ἐρωμένου. *y*

plan **I 2 (p. 2, 26)** ‹κνίσμα·› ἐρωτικὴν λύπην. *y*

plan **I 2 (p. 2, 26)** ‹θηρώμενοι·› θηρῶντες, κρατοῦντες. *y*

plan **I 2 (p. 2, 26)** ‹κλέμμα ἐρωτικόν·› ἀπάτην ἔρωτος μετέχουσαν. *y*

plan **I 2 (p. 2, 27)** ‹τὸν θῆλυν·› σκάρον. *y*

plan **I 2 (p. 2, 27)** ‹ἡσυχῇ·› ἠρέμα. *y*

plan **I 2 (p. 2, 27)** ‹πεφεισμένως·› μετὰ φειδοῦς καὶ ἠρεμίας. *y*

plan **I 2 (p. 2, 27)** ‹λοχῶν·› ἐνεδρεύων ἀπὸ τοῦ λόχου τοῦ δηλοῦντος τὸ κοινῶς ἔγκρυμμα. *hmy*

plan **I 2 (p. 2, 27–28)** ‹ἐπιβουλεύων·› κατὰ τῶν ἰχθύων βουλὰς συντιθείς. *y*

plan **I 2 (p. 2, 28)** ‹εὐθύ·› κατ᾽ εὐθεῖαν. *y*

plan **I 2 (p. 2, 28)** ‹ἐρωμένη·› ἀγαπωμένη ὑπ᾽ αὐτῶν θηλείᾳ. *y*

5 Moschop., Comm. Hes. Op. 734 παραφαίνω τὸ ἀμυδρῶς δεικνύω· καθ᾽ ὃ λέγεται καὶ παραψαύειν τὸ μετρίως ψαύειν. **14** Cf. schol. I 4 (p. 3, 14) ad τεθηρᾶσθαι. **18** Phot. η 235 ἠρέμα· ἀτρέμα, πράως, ἡσυχῇ· ἡ γὰρ ἠρεμία ἡσυχία. **19** Cf. schol. I 7 (p. 4, 29) ad πεφεισμένως. **20–21** Ap. Soph. s.v. λόχος ἐνέδρα, ἀπὸ τοῦ λέχους· οἱ γὰρ ἐνεδρεύοντες κατακλίνουσιν ἑαυτούς. Hsch. λ 1318 λόχος· *ἐνέδρα. στρατηγικὸν τάγμα, *τάξις, φάλαγξ. ἀπὸ τοῦ λέχους· οἱ γὰρ ἐνεδρεύοντες κατακλίνουσιν ἑαυτοὺς ὡς ἐπὶ λέχους. κρυπτοὶ τόποι. Cyr. λ 118 Hag. λοχῶντες· ἐνεδρεύοντες· κρυπτόμενοι. λ 176 Hag. λόχῳ· ἐνέδρᾳ. Hag. Syn. λ 149 λοχεύει· ἐνεδρεύει (Su. λ 708; Phot. λ 422). λ 149 λοχῶντες· ἐνεδρεύοντες (Su. λ 721; Phot. λ 427). Hsch. ε 2853 *ἐνέδρα· ἔγκρυμμα, δολερὸν ὑποκάθισμα. Cyr. ε 314 Hag. ἐνέδρα· ἔγκρυμμα.

I 2 (p. 2, 28) ‹φαίης·› εἴποις. *hmy* plan

I 2 (p. 2, 28) ‹ἐραστάς·› ἐρῶντας. *y* plan

I 2 (p. 2, 29) ‹μεθῆκεν·› ἔρριψεν. *hmy* plan

I 2 (p. 3, 1) ‹θηρατής·› ὁ ἀγρευτής. *y* plan

I 2 (p. 3, 1) ‹εἰς τὰ εἴσω·› εἰς τὰ ἐντός. *hy* plan

I 2 (p. 3, 1) ‹ὁ δέ·› ὁ μόλυβδος. *y* plan

I 2 (p. 3, 1) ‹ἐμπίπτων·› μετὰ βάρους πίπτων. *y* plan

I 2 (p. 3, 1) ‹κατασπᾷ·› καθέλκει. *hmy* plan

I 2 (p. 3, 2) ‹τὸν θῆλυν·› σκάρον. *y* plan

I 2 (p. 3, 2) a. ‹συνεισρεύσαντες·› συνελθόντες· λέγεται δὲ plan κατὰ μεταφορὰν ἀπὸ τῶν ὑγρῶν. *hmns*

b. συνελθόντες· συνεισρέω λέγεται κατὰ μεταφορὰν ἀπὸ plan τῶν ὑγρῶν. *y*

I 2 (p. 3, 2) a. ‹ἑαλώκασι·› ἐκρατήθησαν. *y* plan

b. ‹ἑάλωκα·› ἐκρατήθην ἐπὶ πάθους, καὶ ἑαλώκειν ἐπὶ plan πάθους, ἤγουν ἐκρατήθην, οὕτως ἑαλώκειν τοῦ πάθους, ἤγουν ἐκρατήθην ὑπὸ τοῦ πάθους. *y*

I 2 (p. 3, 2) ‹διδόασι δίκην·› τιμωροῦνται. *y* plan

I 2 (p. 3, 3) ‹δίκην·› τιμωρίαν. *hmy* plan

I 2 (p. 3, 3) a. ‹ὁρμῆς ἀφροδισίου·› ἕνεκα. *hm* plan

b. ἕνεκα κινήσεως καὶ μίξεως τῆς περὶ τὴν θήλειαν. *y* plan

I 2 (p. 3, 3) ‹ταύτην·› τὸν ἰχθῦν. *y* plan

I 3 (p. 3, 4) ‹ὁ ἰχθύς·› χρὴ γινώσκειν ὅτι τὰ εἰς ΥΣ ψιλὸν mosch ὀνόματα μονοσύλλαβα εἴτε ἀρρενικὰ εἴτε θηλυκά εἰσι καὶ μὴ ἀπὸ συναιρέσεως ὄντα ὅμως καὶ μακροκαταληκτοῦσι καὶ περισπῶνται, οἷον μῦς, δρῦς, ὗς. τὰ δὲ ὑπὲρ μίαν συλλαβὴν ἐπὶ τέλους ἔχοντα τὸν τόνον μὴ ἀπὸ συναιρέσεως μὲν ὄντα ὀξύνονται, οἷον ἰχθύς,

1 Schol. D Hom. Il. III 392 οὐδέ κε φαίης. οὐδὲ ἂν εἴποις. IV 429 φαίης· ὑπολάβοις, εἴποις. Schol. Opp. Hal. II 594 φαίης κε· εἴποις ἄν. **4** Cf. schol. I 33 (p. 16, 8) ad θηραταί. **5** Moschop. Sched. p. 194 εἴσω ἀντὶ τοῦ ἐντός. Schol. Aristoph. Plut. 768 (ed. Dübner) ἰοῦσ' εἴσω· ἐλθοῦσα ἐντός. 1088 (ed. Dübner) εἴσιθ' εἴσω· εἴσελθε ἐντός. **14** Cf. schol. I 2 (p. 2, 21) ad ἑαλωκότα. **19** Cyr. δ 269 Hag. δίκην· τιμωρίαν. Syn. δ 289 δίκης· δικαιοσύνης ἢ τιμωρίας (Su. δ 1093; Phot. δ 602).

1 εἴποις ἂν y **6** μόλιβδος y : correxi **10** συνεισελθόντες h **23** εἰς om. f **24** ἀρσενικὰ h **26** μῦς, ὗς, δρῦς n

ὀφρύς, πηλαμύς· ἀπὸ δὲ συναιρέσεως περισπῶνται, οἷον τοὺς ἰχθῦς καὶ τὰς ὀφρῦς. *fhnq*

mosch **I 3 (p. 3, 4)** ‹ὁ ἰχθὺς ὁ κέφαλος·› ἰστέον ὅτι ὅταν δύο ὀνόματα ᾖ, τὸ ἓν καθολικώτερον τοῦ ἑτέρου, εἰ μὲν προτάσσεται τὸ καθολικώτερον δυσὶν ἄρθροις ἐκφέρονται, ὡς ἐνταῦθα «ὁ ἰχθὺς ὁ κέφαλος», εἰ δὲ τὸ ἕτερον καὶ δυσὶ καὶ ἑνὶ μετὰ τοῦ καθολικωτέρου λεγομένῳ, οἷον κέφαλος ὁ ἰχθὺς οὐδέποτε ἀγκίστρῳ ἀγρεύεται. εἰ δὲ ἐπίθετον καὶ προσηγορικόν ἐστιν, εἰ μὲν προτάττεται τὸ προσηγορικὸν μετὰ τοῦ ἄρθρου ἀμφότερα λέγονται, οἷον οἱ ἵπποι οἱ μέλανες ἀγαθοί, εἰ δὲ τὸ ἐπίθετον τοῦτο τὸ ἄρθρον ἔχει ἀεὶ τοῦ ἑτέρου χωρὶς ἄρθρου λεγομένου, οἷον οἱ μέλανες ἵπποι. ἐπὶ δὲ τῶν κτητικῶν καὶ κτημάτων εἰ καὶ δοκεῖ τὸ κτητικὸν ἄρθρον ἔχειν, ἀλλ' οὐδέποτε ἔχει. συμβαίνει γε μὴν τοῦ κτητικοῦ προταττομένου ἓν ἄρθρον εἶναι αὐτοῖς μετὰ τοῦ κτητικοῦ λεγόμενον καὶ ἀφορῶν πρὸς τὸ κτῆμα, οἷον ὁ ἐμὸς οἶκος, εἰ δὲ τὸ κτῆμα προτάττεται καὶ τὸ κτῆμα ἄρθρον ἔχει καὶ τὸ κτητικόν, ὅμως καὶ τὸ τοῦ κτητικοῦ πρὸς τὸ κτῆμα ἀφορᾷ· δύο δὲ ἄρθρα καθ' ἑνὸς ὀνόματος λέγονται, οἷον ὁ οἶκος ὁ ἐμός, ὥσπερ ἂν εἰ ἦν ὁ οἶκος ὁ τοῦ Γεωργίου. τὸ γὰρ ἓν ἔχει ἀναπόλησιν τοῦ κτήματος, τὸ δὲ ἕτερον τοῦ κεκτημένου. ἐπιθέτου δὲ ὄντος καὶ κυρίου τὸ ἐπίθετον ἔχει ἄρθρον ἀεὶ ὁπότερον ἂν προτάττοιτο, τὸ δὲ κύριον οὐδαμῶς, οἷον Πλάτων ὁ σοφὸς εἴρηκε τόδε, καὶ ἀνάπαλιν ὁ σοφὸς Πλάτων· εἰ μὴ ποιητὴς παραχρήσαιτο ὡς Ὅμηρος «τὸν Χρύσην ἀρητῆρα» (Il. I 11) λέγει, ὀφείλων εἰπεῖν τὸν ἀρητῆρα Χρύσην. εἰ δὲ πρὸς ἀγνοοῦντα λέγω ὁ κέφαλος ἰχθὺς καὶ ὁ οἶκος ἐμὸς καὶ ὁ Πλάτων σοφός, καὶ θέλω διδάσκειν ταῦτα αὐτὸν μετὰ τοῦ μερικωτέρου καὶ τοῦ κτήματος καὶ τοῦ κυρίου, ὀφείλω λέγειν ἀεὶ τὸ ἄρθρον ὁπότερον ἂν προτάττοιτο καὶ ἐπιφέρειν ἐκεῖνα μετὰ τοῦ ὑπαρκτικοῦ ῥήματος, οἷον ὁ κέφαλος ἰχθύς ἐστι καὶ ὁ οἶκος ἐμὸς καὶ ὁ Πλάτων σοφός. *fhnq*

1 περισπῶνται post τὰς ὀφρῦς transp. q **3** ζήτει ante ἰστέον add. n | ὅτι post ἰστέον om. n **4–5** εἰ μὲν προτάσσεται τὸ καθολικώτερον f n q εἰ μὲν προτάττεται τὸ προσηγορικὸν h **6–7** μετὰ τοῦ καθολικωτέρῳ λεγομένῳ f **8** προτάσσεται f **9** τοῦ ante ἄρθρου om. f n q **11–12** ἐπὶ δὲ τῶν κτητικῶν κτημάτων εἰ καὶ δοτικῇ n **16** τὸ ante τοῦ κτητικοῦ om. n **17** ἀνθ' ἑνὸς h **19** ἀπόλυσιν h ἀναπόλησιν cett. **20** ἔχει τὸ ἄρθρον n **21** ἂν πράττοιτο n **25** ὅτι ante ὁ κέφαλος add. h n q **25–30** καὶ θέλω διδάσκειν – καὶ ὁ Πλάτων σοφός om. h **27** ὀφείλων λέγειν n **29** οἷ q οἷον cett.

I 3 (p. 3, 4) ‹τῶν ἐν τοῖς ἕλεσι βιούντων·› a. εἷς δηλονότι. *hmns* plan

b. εἷς ἐστι τῶν ἐν τοῖς λιμνώδεσι καὶ καλαμώδεσι ζώντων ἰχθύων. *y* plan

I 3 (p. 3, 4) ‹τοῖς ἕλεσι·› a. τοῖς λιμνώδεσι καὶ καλαμώδεσι. *hmns* plan

b. ἕλος τὸ λιμνῶδες καὶ καλαμῶδες. *l* plan

I 3 (p. 3, 4) ‹βιούντων·› a. τῶν ζώντων. *hm* plan

b. βιόω βιῶ τὸ ζῶ, καὶ ἀπὸ τούτου ῥῆμα εἰς ΜΙ ἕτερον βιῶμι ἄχρηστον μὲν ἐν τῷ ἐνεστῶτι. κανονίζεται δὲ ἀπὸ τούτου τὸ ἐβίων καὶ βιῶναι καὶ ὁ βιούς, ὥσπερ ἀπὸ τοῦ γνῶμι ἀχρήστου καὶ αὐτοῦ τὸ ἔγνων καὶ γνῶναι καὶ ὁ γνούς. *fhnq* mosch

I 3 (p. 3, 5) a. ‹πεπίστευται·› πιστεύεται. *ns* plan

b. ἐβεβαιώθη. *y* plan

I 3 (p. 3, 5) ‹γαστρός·› γαστὴρ ἡ κοιλία· καὶ κλίνεται τῆς γαστέρος καὶ γαστρὸς κατὰ συγκοπήν. ἀπὸ τούτου, κατὰ σύνθεσιν, γαστριμαργία, καὶ γαστρίμαργος ὁ τὴν γαστέρα μάργος, ἤγουν μαινόμενος, καθ' Ὅμηρον, ὡς τὸ «διέπρεπε γαστέρι μάργῃ» (Od. XVIII 2), ἢ ὁ ἀργὸς αὐτὴν κατ' ἀντίφρασιν· κατὰ τὸν εἰρηκότα τοὺς Κρῆτας γαστέρας ἀργούς (cf. Paul. Ep. ad Tit. 1, 12 mosch

5–7 [Moschop.] Voc. Att. s.v. ἄλσος μὲν καὶ δρυμὼν καὶ λόγχμη, τὸ ἐπὶ στερεᾶς γῆς. ἕλος δὲ τὸ λιμνῶδες καὶ καλαμῶδες. Thom. Mag. Ecl. p. 223, 17–19 ἄλσος δὲ καὶ δρυμὼν καὶ λόχμη ἐπὶ ἀγρίων δένδρων ἱσταμένων ἐπὶ ξηρᾶς· ἕλος δὲ τόπος λιμνώδης καὶ καλαμώδης. **15–12,2** Hsch. γ 192 γαστέρι μάργῃ· τῇ γαστριμαργίᾳ (Hom. Od. XVIII 2). Su. γ 68 γαστήρ· ἡ κοιλία. Ὅμηρος (Od. XVIII 2) διαπαντὸς γαστέρας καλεῖ οὐ κοιλίας. καὶ παροιμία· γαστέρα μοι προφέρεις, κάλλιστον ὄνειδος ἁπάντων, ἡ πλήρης μὲν ἐλαφροτέρη, κενεὰ δὲ βαρεῖα· ἐπὶ τῶν γαστριμαργούντων. [Zon.] s.v. γαστήρ· ἡ κοιλία. Ὅμηρος (Od. XVIII 2) διαπαντὸς γαστέρας καλεῖ, οὐ κοιλίας. [Moschop.] Voc. Att. s.v. γαστὴρ ἡ κοιλία καὶ κλίνεται τῆς γαστρὸς κατὰ ἀποκοπήν. ἀπὸ τούτου κατὰ σύνθεσιν γαστριμαργία, καὶ γαστρίμαργος ὁ τὴν γαστέρα μάργος, ἤγουν μαινόμενος, καθ' Ὅμηρον, ὡς τὸ «διέπρεπε γαστέρι μάργῃ» (Od. XVIII 2), ἢ ὁ ἀργὸς αὐτὴν κατ' ἀντίφρασιν· κατὰ τὸν εἰρηκότα τοὺς Κρῆτας γαστέρας ἀργοὺς (cf. Paul. Ep. ad Tit. 1, 12 = Epimen. fr. 41 Bernabé) ἤγουν γαστριμάργους. ὡς καὶ λαίμαργος ὁ τὸν λαιμὸν ἀργός. Cf. schol. I 8 (p. 5, 20) ad γαστριμαργίας.

15 [γα]στὴρ n **17** γαστριμαρτία h **18** ἤγουν μαινόμενος om. h

= Epimen. fr. 41 Bernabé), ἤγουν γαστριμάργους. ὡς καὶ λαίμαργος ὁ τὸν λαιμὸν ἀργός. *fhnq*

plan **I 3 (p. 3, 5)** ‹κρατεῖν·› κυριεύειν. *y*

plan **I 3 (p. 3, 5)** a. ‹διαιτᾶσθαι·› τρέφεσθαι. *hmy*

mosch b. δίαιτα κυρίως ἡ παρὰ τῶν ἰατρῶν ὁριζομένη τροφὴ τοῖς ἀσθενέσι, καὶ διαιτῶ οὕτως καὶ διαιτῶμαι, ὅθεν καὶ ἐκδεδιῃτημένος ὁ ἀκόλαστος καὶ ἔξω διαίτης· καὶ συνδιατῶμαι τὸ συνδιάγω τινὶ καὶ συναναστρέφομαι. *fhnq*

plan **I 3 (p. 3, 5–6)** ‹σωφρόνως·› ἐγκρατῶς. *hmnsy*

plan **I 3 (p. 3, 6)** ‹ζῴῳ·› ζῶντι ἰχθύι. *y*

plan **I 3 (p. 3, 6)** ‹ἐπιτίθεται·› βαρὺς γίνεται, ἀπὸ τούτου λέγεται καὶ ὅταν ἐπιδοίῃ τις ἑαυτὸν πράξει τινὶ καὶ ἔγκειται αὐτῇ, οἷον δρασμῷ ἐπεθέμην ἢ τοιούτῳ τινί. *hlmy*

mosch b. ἐπιτίθημι ἕτερον ἑτέρῳ πράγματι, ἤγουν ἐπάνω αὐτοῦ τοῦτο τίθημι· ἐπιτίθεμαι δὲ ἐγὼ ἀντὶ τοῦ βαρὺς γίνομαι. *fhnq*

mosch **I 3 (p. 3, 6)** ‹ἀλλά·› ΑΛΛΑ σύνδεσμος συμπλεκτικός, διὰ δύο ΛΛ διὰ καλλιφωνίαν. *fhq*

plan **I 3 (p. 3, 7)** a. ‹ἔνσπονδος·› φιλικός. *hlmy*

mosch b. σπένδω τὸ δι' ὑγρῶν θυσιάζω, σπένδομαι δὲ τὸ φιλιοῦμαι, ὅθεν καὶ σπονδαὶ καὶ ἔνσπονδοι οἱ ἐν τῇ φιλίᾳ μένοντες, καὶ σπείδω καὶ σπείδομαι ὁμοίως. *fhnq*

plan **I 3 (p. 3, 7)** ‹πέφυκεν·› φύσιν ἔχει. *hmnsy*

plan **I 3 (p. 3, 7)** a. ‹ὅτῳ·› ᾧτινι. *h*

3 Hsch. κ 3993 κρατεῖ· [μένει. κρύπτει]. κυριεύει. δυνάμει ἄρχει. **4** Et. M. s.v. γαστρίζεσθαι· λαμπρότερον τρέφεσθαι, λαιμάργως διαιτᾶσθαι. **11–13** Planud. Epim. ined. (ε^{6} f. 106^{v}, ε^{9} f. 106^{v}) ἐπιτίθεται ἤγουν [ἤγουν om. ε^{9}] βαρὺς γίνεται, ἀπὸ τούτου λέγεται καὶ ὅταν δῷ τις ἑαυτὸν πράξει τινὶ καὶ ἔγκηται [ἔγκειται ε^{9}], οἷον δρασμῷ (scripsi: δαρμῷ ε^{6}, δασμῷ ε^{9}) ἐπεθέμην ἢ τοιούτῳ τινί. **14–15** [Moschop.] Voc. Att. s.v. ἐπιτίθημι ἕτερον πράγματι, ἤγουν ἐπάνω αὐτοῦ τοῦτο τίθημι, ἐπιτίθεμαι δὲ ἐγὼ ἀντὶ τοῦ βαρὺς γίνομαι. **19–21** Lex. Vind. σ 3 σπένδω ἐνεργητικῶς τὸ θυσιάζω. σπένδομαι παθητικῶς τὸ φιλιοῦμαι, καὶ τὸ θυσία γίνομαι. Θεολόγος (Or. II 54, 18–19)· «ἄρτι τὴν ἐκδημίαν ποθεῖ καὶ σπένδεται». **22** Schol. Thuc. IV 61, 5 πέφυκε· φύσιν ἔχει. Cf. schol. I 4 (p. 3, 28) ad πεφυκότες. **23** Hsch. ο 7534 *ἐφ' ὅτῳ· ἐφ' ᾧτινι, ἐπί τινι.

8 ἀναστρέφομαι n **11** ἐπιτίθεται· ἀντὶ τοῦ ante βαρὺς γίνεται add. l | καὶ ἐχθρὸς post γίνεται add. y **12–13** ἤγουν δρασμῷ y οἷον δρασμῷ cett. **16** ⟦ΑΛΛΑ⟧ reliquis omissis h **19** θύω h θυσιάζω cett.

b. ᾧτινι ἀπὸ τῶν ἰχθύων. *y* plan

I 3 (p. 3, 7) ‹ἐντύχῃ·› a. συναντήσῃ. *y* plan

b. τυχεῖν γενικῇ συντάσσεται, ἐντυχεῖν δὲ καὶ περιτυχεῖν δοτικῇ. *fhnq* mosch

I 3 (p. 3, 7) ‹κειμένῳ·› a. ἀποθανόντι. *y* plan

b. κείμενοι οἱ ἀνακεκλιμένοι καὶ οἱ τεθνηκότες. *fhnq* mosch

I 3 (p. 3, 7) ‹οἱ·› αὐτῷ. *hmy* plan

I 3 (p. 3, 8) a. ‹προσάπτει·› προσψαύει. *hmy* plan

b. τὸ προσάπτεσθαι ἔλαττον τοῦ ἅπτεσθαι· τὸ γὰρ ἅπτεσθαι ἀόριστόν ἐστι, τὸ δὲ προσάπτεσθαι ἤγουν ἐσκεμμένως καὶ ἀκροθιγῶς ἅπτεσθαι. Φιλόστρατος (Her. p. 27, 10–12 De Lannoy)· «καὶ παρακελεύσασθαι πρεσβύτεροι νέοις μὴ σκυλεύειν Ἱέραν, μὴ δὲ προσάπτεσθαι κειμένης», ἤγουν μὴ δ' ἀκροθιγῶς ἅπτεσθαι μὴ δ' ὁπωσοῦν. *y* plan

c. ἰστέον ὅτι τὸ μὲν ἅπτεσθαι ἀόριστον ἔχει τὴν ἀφήν, τὸ δὲ προσάπτεσθαι τὸ ὑπεσταλμένως καὶ οἱονεὶ ἄκροις δακτύλοις ἅπτεσθαι δηλοῖ, ὥσπερ καὶ ψαύειν καὶ προσψαύειν, καὶ ἐγγίζειν καὶ προσεγγίζειν. *fhnq* mosch

I 3 (p. 3, 8–9) ‹τῇ οὐρᾷ·› a. διὰ τῆς οὐρᾶς. *hmnsy* plan

b. οὐρὰ τὸ ὄπισθεν τῶν ζῴων, καὶ ἀπὸ τούτου οὐρὰ καὶ ἡ πρύμνα τῆς νεώς, ὅθεν οὖρος ποιητικῶς ὁ ἀπὸ τῆς οὐρᾶς φορὸς καὶ ἐπιτήδειος ἄνεμος, ὃς κοινῶς λέγεται οὔριος· ὅθεν καὶ τὸ ἐξ οὐρίας πλεῖν. *fhnq* mosch

I 3 (p. 3, 9) ‹ἀτρεμοῦντος·› μὴ κινουμένου. *hmsy* plan

I 3 (p. 3, 9) ‹ἔχει τὴν ἄγραν·› ἀγρεύει τὸν κείμενον ἰχθῦν. *y* plan

I 3 (p. 3, 9) ‹ἄγραν·› ἄγρα λέγεται καὶ τὸ θηρώμενον καὶ τὸ ἔργον. *fhnq* mosch

I 3 (p. 3, 9) ‹κινηθέντος·› βαδίσαντος. *y* plan

I 3 (p. 3, 10) ‹ἀνεχώρησεν·› ἀπῆλθεν. *y* plan

2 Schol. rec. Aristoph. Nub. 689b ἐντυχών· συναντήσας, ὁμιλήσας. 7 Cf. schol. I 2 (p. 2, 13) ad οἱ. **20–23** [Moschop.] Voc. Att. s.v. οὐρὰ τὸ ὄπισθεν τῶν ζῴων, καὶ ἀπὸ τούτου οὐρὰ καὶ ἡ πρύμνα τῆς νεώς, ὅθεν οὖρος ποιητικῶς ὁ ἀπὸ τῆς οὐρᾶς φορὸς καὶ ἐπιτήδειος ἄνεμος, ὃς κοινῶς λέγεται οὔριος· ὅθεν καὶ τὸ ἐξ οὐρίας πλεῖν. **26–27** Poll. On. V 12 οὐ γὰρ μόνον τὸ ἔργον ἀλλὰ καὶ τὸ θηρώμενον ἄγραν καλοῦσιν.

6 ἀνακεκλημένοι n **19** ‹οὐρ›ᾶς s **21** ὅθεν καὶ οὖρος n q **22** *καί* ante τὸ ἐξ οὐρίας om. h n q **26** *καί* post λέγεται om. n | θηρόμενον f

plan **I 4 (p. 3, 11)** ‹τιμωροῦσιν·› βοηθοῦσιν. κυρίως δὲ τὸ τιμωρεῖν ἐπὶ ἐκδικήσεως λέγεται καὶ τιμωρὸς ὁ ἐκδικητής. *hmnsy*

plan **I 4 (p. 3, 12)** ‹οὖν·› δή. *hmnsy*

plan **I 4 (p. 3, 12)** ‹θήρας·› ἄγρας. *y*

plan **I 4 (p. 3, 13)** ‹ἐπιστήμονες·› ἔμπειροι. *y*

plan **I 4 (p. 3, 13)** ‹φιλοῦσιν·› εἰώθασιν. *hmnsy*

plan **I 4 (p. 3, 13)** ‹ὀνομάζειν·› καλεῖν. *y*

plan **I 4 (p. 3, 13)** ‹τὰ ἤθη·› a. κατὰ τὰς συνήθεις αὐτοῖς διατριβάς. *hmy*

plan b. κατά. *hmy*

plan **I 4 (p. 3, 14)** ‹πελαγίους·› ἐν τῷ πελάγει διάγοντας. *y*

plan **I 4 (p. 3, 14)** ‹τούτων·› τῶν ἀνθιῶν. *y*

plan **I 4 (p. 3, 14)** ‹νοήσωσι·› αἴσθωνται. *y*

plan **I 4 (p. 3, 14)** ‹τεθηρᾶσθαι·› κρατηθῆναι. *y*

plan **I 4 (p. 3, 14–15)** ‹τὸν σύννομον·› a. ἐπὶ τῶν ζῴων λέγεται τοὔνομα τῶν ὁμοῦ βοσκομένων. *hm*

plan b. σύννομος κυρίως ἐπὶ τῶν ζῴων τῶν ὁμοῦ βοσκομένων, ἀπὸ τοῦ νέμω τὸ βόσκω. καταχρηστικῶς δὲ καὶ ἐπ᾽ ἀνθρώπων ὁ ὁμοδίαιτος καὶ σύσσιτος λέγεται. Θεολόγου (Greg. Naz. Or. XLIII 24, 5)· «ἐπὶ τὸν σύννομον ἐφερόμην». *y*

plan c. αὐτοῖς καὶ σύσσιτον καὶ ὁμοδίαιτον. *y*

plan **I 4 (p. 3, 15)** ‹προνέουσιν·› προπορεύονται, ἀπὸ τοῦ νέω τὸ κολυμβῶ. *hmsy*

plan **I 4 (p. 3, 15)** ‹ὤκιστα·› ταχύτατα. *hmnsy*

1–2 Erotian. τ 17 τιμωρέουσα· βοηθοῦσα. ὡς καὶ Εὐριπίδης ἐν Οἰνεῖ φησιν (fr. 559 Kann.)· «ἐγὼ δὲ πατρὸς αἷμ᾽ ἐτιμωρησάμην | σὺν τοῖς ἐφηβήσασι καὶ τῶν ὀλωλότων». Su. τ 635 τιμωρεῖν· ἀντὶ τοῦ βοηθεῖν καὶ τιμωρός, ὁ ἐκδικητής. **4** Hsch. θ 516 *θήρα· κυνηγία, ἄγρα. **5** Su. ε 2628 ἐπιστήμονος· τοῦ ἐμπείρου. **7** Cf. schol. I 1 (p. 1, 27) ad καλεῖται. **14** Cf. schol. I 2 (p. 2, 26) ad θηρώμενοι. **15–20** Georg. Lacap. Epim. p. 138, 19–21 Lindstam ὅτι νέμω λέγεται καὶ τὸ βόσκω. καὶ νομεὺς ἀπὸ τούτου· ὁ βοσκός. καὶ σύννομοι· οἱ ὁμοῦ βοσκόμενοι, εἴτε ἵπποι, εἴτε βόες. Cf. schol. I 9 (p. 5, 26) ad σύννομοι. **22–23** Moer. ν 5 νεῖν καὶ νήχεσθαι Ἀττικοί· κολυμβᾶν Ἕλληνες. Hsch. ν 237 νεῖν· νήθειν στήμονα. κολυμβᾶν, νήχεσθαι. [Zon.] s.v. νεῖν· ἀντὶ τοῦ κολυμβᾶν. Moschop. Comm. Hes. Op. 628 νεῖν δὲ καὶ κολυμβᾶν ταὐτόν· ἀπὸ τοῦ κολυμβᾶν ὄνομα ὁ κολυμβητής. **24** [Zon.] s.v. ὤκιστος· ταχύτατος. Schol. Aeschyl. Sept. 65e ὤκιστος· ταχύτατος.

1 κυρίως δὲ τὸ τιμωρεῖν h m τὸ om. n s τὸ τιμωρεῖν κυρίως y

I 4 (p. 3, 15–16) ‹ἀπερείδουσι·› στηρίζουσι. *hmnsy* plan

I 4 (p. 3, 16) ‹ἐμπίπτοντες·› ἄλλοι ἐπάνω ἄλλων πίπτοντες. *hmsy* plan

I 4 (p. 3, 16) ‹ὠθούμενοι·› ὑπ' ἀλλήλων. *y* plan

I 4 (p. 3, 16) ‹τῇ δυνάμει·› τῇ ἰσχύι αὐτῶν. *y* plan

I 4 (p. 3, 17) ‹ἕλκεσθαι·› σύρεσθαι βίαις τὸν ἠγρευμένον. *y* plan

I 4 (p. 3, 18) ‹εἰς τὴν οἰκείαν ἀγέλην·› εἰς τοὺς ὁμογενεῖς. *L^{1}*

I 4 (p. 3, 18) ‹ἀγέλην·› πληθὺν τὴν αὐτοῖς ὁμοειδῆ. *y* plan

I 4 (p. 3, 18) ‹τιμωροί·› βοηθοί, ἐκδικηταί. *y* plan

I 4 (p. 3, 19) ‹προίασι·› a. προέρχονται. *hmnsy* plan
b. τῶν ὀπῶν δηλονότι. *L^{1}*

I 4 (p. 3, 19) ‹ἀποτραγεῖν·› a. φαγεῖν καὶ ἀποκόψαι. *hmns* plan
b. ἀπὸ τοῦ ὅλου δι' ὀδόντων κόψαι. *y* plan

I 4 (p. 3, 19) ‹σπεύδουσιν·› σπουδάζουσιν. *y* plan

I 4 (p. 3, 20) ‹τὸν ᾑρημένον·› τὸν κεκρατημένον. *mnsy* plan

I 4 (p. 3, 20) ‹πολλάκις·› τὸ πολλάκις οὐδέποτε ἀντὶ τοῦ σπανιάκις λαμβάνεται, εἰ μὴ παρὰ τοῖς κοινοῖς. *hmnsy* plan

I 4 (p. 3, 20) ‹ἀποκόψαντες·› ἀποτεμόντες τὴν ὁρμιάν. *y* plan

I 4 (p. 3, 21) ‹ἀφῆκαν·› εἴασαν. *nsy* plan

I 4 (p. 3, 21) ‹αἰτοῦσι·› ζητοῦσιν αὐτούς. *y* plan

I 4 (p. 3, 21) ‹ζωάγρια·› a. χαριστήρια τινὰ διδόμενα ὑπὲρ τῆς ζωῆς αὐτῆς. *y* plan

10 Georg. Lacap. Epim. pp. 27, 6–28, 2 Lindstam προΐασι· τὸ προέρχονται, ὡς τὸ προπάντες οἱ λόγοι διὰ τῶν χειλέων προΐασι. προϊᾶσι δὲ οὐχ εὑρίσκεται, ὥσπερ δὴ καὶ τὸ προσιᾶσι. **12** Su. τ 887 τραγεῖν· φαγεῖν. **14** Hsch. σ 1486 σπεύδων· σπουδάζων, ἐνεργῶν. **15** Et. Sym. α 1356 ἀρημένον· κεκρατημένον· αἱρῶ αἱρήσω ᾕρηκα ᾕρημαι ᾑρημένον καὶ ἀρημένον. σημαίνει δὲ καὶ τὸν βεβλαμμένον, ἀπὸ τοῦ ἀρά, ἡ βλάβη. Schol. Hom. Od. VI $2a^2$ τὸ ἀρημένος ἀντὶ τοῦ ᾑρημένος καὶ νενικημένος καὶ κεκρατημένος. Cf. scholl. I 33 (p. 16, 7) ad αἱρεῖν et X 18 (p. 241, 6) ad αἱρῇ. **16–17** [Moschop.] Voc. Att. s.v. τὸ πολλάκις οὐδέποτε ἀντὶ τοῦ σπανιάκις λαμβάνεται, εἰ μὴ παρὰ τοῖς κοινοῖς. **19** Su. π 603 παρεῖσαν· εἴασαν, ἀφῆκαν. **21–16,2** Su. ζ 112 ζωάγρια καὶ ζώγρια· δι' ὧν λύτρων τὸ ζῆν περιγίνεται. ζωάγρια γὰρ τὰ τῆς ζωῆς χαριστήρια. Et. Gud. s.v. ζωάγρια, ἄποινα, τὰ ὑπὲρ τοῦ ζῆν διδόμενα. συντάσσεται μετὰ δοτικῆς.

2–3 ἄλλος ἐπάνω ἄλλω πίπτοντες s **12** ἀποφαγεῖν m **15** τὸν om. s y **16–17** λαμβάνεται ante ἀντὶ τοῦ σπανιάκις transp. y ἀντὶ τοῦ om. n s **19** εἴησαν s

plan b. ζωγρέω ζωγρῶ τινα τὸ ζῶντα κρατῶ, καὶ ζωάγρια τὰ διδόμενα χαριστήρια ὑπὲρ τῆς ζωῆς τινος. *y*

plan **I 4 (p. 3, 22)** ‹ἔτυχον·› ἐπέτυχον τοῦ σκοποῦ. *y*

plan **I 4 (p. 3, 22)** ‹ἥμαρτον·› a. ἀπέτυχον. *hmns*

plan b. ἀπέτυχον τοῦ σκοποῦ. *y*

plan c. ἥμαρτον ἀντὶ τοῦ ἁμαρτίαν ἐποίησα, ἔστι δὲ τὸ ῥῆμα ἀμετάβατον καὶ ἥμαρτον ἀντὶ τοῦ ἀπέτυχον καὶ ἔχει τὴν σύνταξιν πρὸς γενικήν. *hmns*

plan d. ἥμαρτον ἀντὶ τοῦ ἁμαρτίαν ἐποίησα, ἔστι δ᾽ ἀμετάβατον καὶ ἥμαρτον ἀντὶ τοῦ ἀπέτυχον καὶ συντάσσεται γενικῇ· ἥμαρτον τοῦ σκοποῦ καὶ ἁμαρτάνω τοῦ ὀρθοῦ, ἤγουν ἀποτυγχάνω, ὃ καὶ μετὰ τῆς ΔΙΑ προθέσεως γράφεται παρὰ ῥήτορσι· διήμαρτε τῆς ἀληθείας, ἤγουν ἀπέτυχε, καὶ διαμαρτάνει τῶν ὀρθῶν φρενῶν, ἤγουν ἀποτυγχάνει. *y*

plan **I 4 (p. 3, 22)** ‹τὸ δ᾽ οὖν ἑαυτῶν·› τὸ δυνατὸν αὐτοῖς. *hmnsy*

plan **I 4 (p. 3, 23)** ‹ἐμπεσεῖν·› ἐντὸς πεσεῖν. *y*

plan **I 4 (p. 3, 24)** ‹τὸ οὐραῖον μέρος·› τὸ τῆς οὐρᾶς. *y*

plan **I 4 (p. 3, 24)** ‹ἐκβαλεῖν·› ἔξω βαλεῖν. *y*

plan **I 4 (p. 3, 24)** ‹ἀθηράτους·› ἀκρατήτους. *y*

plan **I 4 (p. 3, 24)** ‹περινέοντας·› a. κύκλῳ πορευομένους τῇ νήξει, περινηχομένους. *hmns*

plan b. κύκλῳ νηχομένους. *y*

plan **I 4 (p. 3, 25)** ‹ἐνδακεῖν·› τὸ μέρος αὐτοῦ τῆς οὐρᾶς. *y*

plan **I 4 (p. 3, 25)** ‹ἑταῖρον·› φίλον. *y*

plan **I 4 (p. 3, 25)** ‹προαγαγεῖν·› ἐκβαλεῖν. *y*

4–5 Et. Gud. s.v. ἥμαρτον, ἀπέτυχον ἀγαθῶν. Schol. Aeschyl. Ag. 1194a (Tricl.) ἥμαρτον· ἀπέτυχον. Schol. Eur. Phoen. 874 (ed. Dindorf) ἥμαρτον ἀμαθῶς· ἀπέτυχον ἀπαιδεύτως. **6–14** Georg. Lacap. Epim. p. 43, 8–12 Lindstam ἁμαρτάνειν δίχα μὲν προθέσεως κοινῶς λέγεται καὶ ἀμεταβάτως καὶ μεταβατικῶς. ἀμεταβάτως μέν, ὅτε δηλοῖ τὸ πταίω καὶ ἁμαρτίαν ἐργάζομαι, ὡς τὸ ἥμαρτον εἰς τὸν οὐρανόν. μεταβατικῶς δὲ ἀντὶ τοῦ ἀποτυγχάνω, συντασσόμενον γενικῇ, οἷον· «ἥμαρτε τοῦ σκοποῦ» (Iulian. Contra Gal. p. 228, 15). καθὸ καὶ τὸ ἤμβροτες ποιητικῶς ἀντὶ τοῦ ἀπέτυχες, τὸ κοινῶς λεγόμενον ἠστόχησας. Schol. Eur. Hec. 594 (ed. Dindorf) ἁμαρτοῦσ᾽· ἁμαρτάνω, τὸ ἁμαρτίαν ποιῶ, ἀμεταβάτως· ἁμαρτάνω δὲ τὸ ἀποτυγχάνω, καὶ συντάσσεται γενικῇ, ὡς τὸ ἥμαρτον τοῦ σκοποῦ. **24** Cf. schol. I 1 (p. 2, 6) ad ἑταῖροι.

6 ἁμαρτίας m

I 4 (p. 3, 25) ‹ἐξίοι·› ἐξέλθοι. *hmnsy* plan

I 4 (p. 3, 26) ‹ὁ ἔξω·› ὢν σκάρος. *y* plan

I 4 (p. 3, 26) ‹ὤρεξεν·› a. ἔδωκεν, ἐκτείνας ἔδωκεν. *hmns* plan
b. ἐκτείνειν ἔδωκεν. *y* plan

I 4 (p. 3, 26) ‹περιχανών·› a. ἐνδακών. *hmnsy* plan
b. περιλαβὼν τῷ χάσματι τοῦ στόματος. *L*[1]

I 4 (p. 3, 27) ‹φιλεῖν·› ἀγαπᾶν. *y* plan

I 4 (p. 3, 27–28) ‹οὐ μαθόντες·› οὐ διδαχθέντες. *hmnsy* plan

I 4 (p. 3, 28) ‹ἀλλὰ πεφυκότες·› ἀλλ' ἀπὸ φύσεως ἔχοντες τὸ ἀλλήλους ἀγαπᾶν. *y* plan

I 4 (p. 3, 28) ‹πεφυκότες·› φύσιν ἔχοντες. *hms* plan

I 5 (p. 3, 32) ‹καρτεροί·› καρτερὸς κυρίως ἐπὶ ψυχῆς ὁ ὑπομένων τὰ ἐπιόντα ἀδ̣ε̣ῶ̣ς. νῦν δὲ ἐπὶ σώματος, ἤγουν ὁ ἰσχυρός. *L*[1]

I 5 (p. 4, 3) ‹λαβάς·› λαβαὶ ἐξ ὧν αἱ ὁρμια[ὶ] δέδενται. *L*[1]

I 6 (p. 4, 17) ‹γλαύκης·› γλαὺξ ὄρνεόν τι καὶ κλίνεται γλαυκός. Γλαύκη δὲ ὄνομα γυναικός. *fgq* mosch

I 6 (p. 4, 17) ‹ἀκούω·› ἀκούω λόγον καὶ ἀκούω ἀντὶ τοῦ νοῶ, καὶ παρακούω ἀντὶ τοῦ παρανοῶ, καὶ ἀκούεται ὁμοίως καὶ παρακούεται. *fgq* mosch

I 6 (p. 4, 17) ‹ἐρασθῆναι·› ἐρῶ κοινῶς, ἔραμαι δὲ ποιητικῶς τὸ αὐτό, καὶ ἠράσθην πάλιν κοινόν. *fgq* mosch

I 6 (p. 4, 18) ‹Κιλικίας·› κύλιξ τὸ ποτήριον καὶ κλίνεται τῆς κύλικος, ‹Υ› ψιλὸν καὶ Ι, οἱ Κίλικες δὲ ὄνομα ἔθνους, Ι τὰ δύο. *fg* mosch

I 6 (p. 4, 19) ‹παιδός·› παῖς ἡ νέα καὶ ἡ δούλη καὶ ἐπὶ ἀρσενικοῦ ὁμοίως, ὃ ποιητικῶς λέγεται πάϊς διαλελυμένως. ἀπὸ τούτου παιδοτρίβης καὶ παιδαγωγός, ὁ ἑπόμενος καὶ παιδεύων mosch

3 Hsch. ω 320 ὤρεξε· παρέσχεν, ἔδωκεν. Schol. Opp. Hal. III 268 ὤρεξε· ἔδωκεν. 4, 58 ὤρεξε· ἔδωκεν. **9–11** Cf. schol. I 3 (p. 3, 7) ad πέφυκεν. **12–14** Cyr. κ 113 Hag. καρτερός· ἰσχυρός· γενναῖος. **18–20** Schol. Philostr. Im. I 9 p. 229 Webb ἀκούω σοῦ τοὺς λόγους, ἐνίοτε δὲ καὶ ἀκούω σοῦ τῶν λόγων. καὶ ἀκούω τινὸς ἀντὶ τοῦ ἀκροατὴς αὐτοῦ εἰμί, ἀφ' οὗ παρακούω τὸ παρανοῶ, ἤγουν, ὅπερ τις εἰς ἑτέραν ἔννοιαν εἶπεν, ἐγὼ δὲ ἑτέρως ἐνόησα. καὶ παρακούω τὸ παρέργως ἀκούω, καὶ μὴ μετὰ σπουδῆς. Cf. schol. X 18 (p. 241, 4) ad ἀκούω.

3 ἔδωκεν[1] om. n s **8** οὐ om. y **15** supplevi **21** παθητικῶς g **24** ‹Υ› addidi **25** ἡ ante παῖς add. q

τὰ ἤθη τῶν παίδων, ὁ δὲ τοὺς ἵππους ἡμερῶν πωλοδάμνης λέγεται. *fgq*

mosch **I 6 (p. 4, 20)** ‹ἐν Σπάρτῃ·› Σπάρτη ἡ βασιλεύουσα πόλις ἐν τῇ Λακωνικῇ, τὰ δὲ πέριξ αὐτῆς Λακεδαιμονία καὶ Λακωνική, ὥσπερ καὶ Ἀθῆναι μὲν ἡ κυριεύουσα πόλις, τὰ δὲ περὶ αὐτὴν χωρία Ἀττική, καὶ Ἴλιος, ἢ καὶ Ἴλιον λέγεται οὐδετέρως, ἡ ἐξέχουσα πόλις, τὰ δὲ πέριξ αὐτῆς Τροία. *fgq*

mosch **I 6 (p. 4, 20)** κολοιός· ὄρνεον θορυβῶδες, ἀπὸ τούτου κολῳὸς ὁ θόρυβος, καὶ κολούειν τὸ θορυβεῖν ποιητικῶς· γέγονε δὲ τοὔνομα ἀπὸ τῆς κραυγῆς τοῦ ζῴου. *fgq*

plan **I 7 (p. 4, 21)** ‹φιλανθρωπότατον·› φιλεῖ συνδιάγειν τοῖς ἀνθρώποις. *y*

plan **I 7 (p. 4, 22)** ‹περιτύχῃ·› συναντήσῃ. *y*

plan **I 7 (p. 4, 22)** ‹οἷον·› καθά. *y*

plan **I 7 (p. 4, 23–24)** ‹τῳτηνικαῦτα·› τῳτότε. *hmsy*

plan **I 7 (p. 4, 24)** ‹ἐπαμύνει·› a. βοηθεῖ. *hmy*

plan b. ἀμύνω τὸ βοηθῶ καὶ ἐκδικῶ· ἀμύνομαι δὲ τὸ τιμωροῦμαι. ἤγουν κολάζω. *hmns*

plan c. ἀμύνω τὸ βοηθῶ, δοτικῇ συντάσσεται· ἀμύνομαι δὲ τὸ τιμωροῦμαι, ἤγουν κολάζω, αἰτιατικῇ. *y*

plan **I 7 (p. 4, 24)** ‹αὐτῷ·› τῷ ἀνθρώπῳ. *y*

plan **I 7 (p. 4, 25)** ‹τῶν κυνηγετούντων·› ἀπό. *hmsy*

8–10 Ap. Soph. s.v. κολῳός θόρυβος. ἡ μεταφορὰ ἀπὸ τῶν κολοιῶν· θορυβητικὸν γὰρ τὸ ζῷον. Et. M. s.v. κολωιός· ὁ θόρυβος· ἡ μεταφορὰ ἀπὸ τοῦ κολοιοῦ, ὅ ἐστι θορυβῶδες καὶ κραυγαστικὸν ὄρνεον. ἀπὸ τοῦ κλῶ, τὸ φωνῶ καὶ κλάζω, γίνεται κλὸς, καὶ πλεονασμῷ, κολοιός· κρακτικὸν γὰρ τὸ ζῷον. **11–12** Cf. schol. I 52 (p. 22, 17) ad φιλάνθρωπος. **14** Cf. schol. I 7 (p. 4, 30) ad οἷον. **16–20** Hsch. α 3847 ἀμῦναι· ἐκδικῆσαι. βοηθῆσαι (Eur. Or. 556). Schol. Eur. Hec. 160 (ed. Dindorf) ἀμύνω τὸ ἐκδικῶ καὶ βοηθῶ δοτικῇ, ἀμύνομαι τὸν ἐχθρόν μου ἀντὶ τοῦ κολάζω, ἀεὶ αἰτιατικῇ. ἐκ τούτου λέγεται καὶ ἄμυνα ἐπὶ θηλυκοῦ, καὶ ἀμυντήρια ὅπλα, οἷον ξίφος ἢ δόρυ ἢ τόξον ἢ ἄλλο τι τοιοῦτον. δι᾽ οὗ ἀναστέλλομεν μηκόθεν τὸν πολέμιον. Planud. Constr. verb. α III 3 (p. 26, 28–29 Guida) ἀμύνω καὶ ἐπαμύνω, τὸ βοηθῶ καὶ ἐκδικῶ· ἀμύνομαι δὲ τὸ κολάζω, εἰς αἰτιατικήν. Planud. Epim. p. 75 Lindstam ἀμύνω σοι· βοηθῶ σοι. ἀμύνομαί σε δὲ ἀντὶ τοῦ τιμωροῦμαί σε. [Moschop.] Voc. Att. s.v. ἀμύνω τὸ βοηθῶ καὶ ἐκδικῶ· ἀμύνομαι δὲ τὸ τιμωροῦμαι. ἤγουν κολάζω.

1 πολοδάμνης f **8** κολοὸς codd. : correxi **17** ἀμύνωμαι h

I 7 (p. 4, 25) ‹ἀπροόπτως·› a. ἀπροόπτως φέρεταί τις ὅταν οὐ προορᾷ τὴν ὁδόν, μή τι ἔχῃ δεινόν, ἀλλ᾽ ἀμερίμνως ταύτην διέρχηται. *hmnsy* plan

b. μὴ προορῶν τὴν ὁδὸν μή τι ἔχῃ δεινόν· κρημνὸν ἢ λάκκον ἢ σκόλοπας. *y* plan

I 7 (p. 4, 26) ‹ἀνθρακευτῶν·› ἀνθρακευταὶ οἱ τοὺς ἄνθρακας ἐν τοῖς ὄρεσιν ἐργαζόμενοι. *hmnsy* plan

I 7 (p. 4, 26) ‹κατηνέχθη·› κατέπεσεν. *y* plan

I 7 (p. 4, 27) ‹οὐκ ἀπέστησαν·› οὐκ ἀνεχώρησαν. *hmns* plan

I 7 (p. 4, 27) ‹κνυζώμενοι·› a. κνυζᾶται κύων ὅτε προσερχόμενός τινι κλαυθμυρίζεται καὶ τὸ οὐραῖον κινεῖ· κνίζεται δὲ ὁ ἐρωτικῶς λυπούμενος. *hmnsy* plan

b. κλαυθμυρίζοντες καὶ τὸ οὐραῖον κινοῦντες. *y* plan

I 7 (p. 4, 28) ‹ὠρυόμενοι·› ἰστέον δ᾽ ὅτι ὠρυώμενος καὶ βρυχώμενος λέων, καὶ ὠρυωμένη καὶ βρυχωμένη θάλασσα, μεγάλα τὰ δύο. ὠρυάω γὰρ ὠρυῶ καὶ βρυχάω βρυχῶ ἐστι τὸ θέμα περισπωμένως. ὠρυόμενος δὲ καὶ βρυχόμενος ἄνθρωπος ἢ κύων ἢ λύκος, μέγα καὶ μικρόν. ὠρύω γὰρ καὶ βρύχω τὸ θέμα βαρυτόνως ἐστίν. *y* plan

I 7 (p. 4, 28) ‹διέτριβον·› διῆγον. *y* plan

1–3 Planud. Epim. ined. (ε^{6} f. 107^{r}, ε^{9} f. 107^{r}) = [Moschop.] Voc. Att. s.v. ἀπροόπτως φέρεταί τις ὅταν οὐ προορᾷ τὴν ὁδὸν, μή τι ἔχῃ [ε^{6}ε^{9}, ἔχει Moschop.] δεινόν. ἀλλ᾽ ἀμερίμνως [ε^{6}, ἀλλὰ ἀμερίμνως ε^{9}, ἀλλὰ μερίμνως Moschop.] ταύτην διέρχηται [διέρχεται ε^{9}]. **8** Schol. D Hom. Il. XIV 54 κατερήριπεν· κατηνέχθη, κατέπεσεν. **9** Hsch. ε 7586 ἐχάσατο· ἀνεχώρησεν. ἀπέστη (Hom. Il. XIII 193). **10–13** Planud. Epim. ined. (ε^{6} f. 107^{r}, ε^{9} f. 107^{r}) κνυζᾶται κύων ὅτε προσερχόμενός τινι κλαυθμυρίζεται καὶ τὸ οὐραῖον κινεῖ· κνίζεται δὲ ὁ ἐρωτικῶς λυπούμενος. Planud. Epim. p. 66 Lindstam κνυζώμενος κύων· κνιζόμενος δὲ ὁ ἐρωτικῶς λυπούμενος. [Moschop.] Voc. Att. s.v. κνίζειν τὸ ἐρωτικὸς λυπεῖν μεταβατικῶς. καὶ κνιζόμενος ὁ ἐρωτικῶς λυπούμενος. κνυζᾶται δὲ κύων ἀμεταβάτως διὰ τοῦ Υ ψιλοῦ, ὅτε προσερχόμενος καὶ σαίνων λαλιάν τινα ὑπὸ χαρᾶς ἀφίησιν. Schol. Philostr. Im. I 12 p. 236 Webb κνίζειν τὸ ἐρωτικῶς λυπεῖν, καὶ συντάσσεται αἰτιατικῇ. κνυζᾶται δὲ κύων ἀμεταβάτως διὰ τοῦ Υ ψιλοῦ, ὅταν προσερχόμενος καὶ σαίνων λαλιάν τινα ὑπὸ χαρᾶς ἀφίησιν. **20** Hsch. δ 1687 διετάθη· διέτριβε, διῆγεν.

10 ὅταν y **11** κλαυθμυρίζηται y **14** ὠρυόμενος y : correxi **15** ὠρυομένη καὶ βρυχομένη y : correxi

plan **I 7 (p. 4, 28)** ‹τὰ δὲ τελευταῖα·› περὶ τὰ τέλη δέ. *y*

plan **I 7 (p. 4, 29)** ‹πεφεισμένως·› μετὰ φειδοῦς. *y*

plan **I 7 (p. 4, 30)** ‹οἷον·› καθά. *y*

plan **I 7 (p. 4, 30)** ‹ἐπικούρους·› βοηθούς. *hmnsy*

plan **I 7 (p. 4, 30–5, 1)** ‹παρακαλοῦντες·› ἕλκοντες· παρακαλῶ τὸ ἕλκω καὶ τὸ αἰτοῦμαι. *hmnsy*

plan **I 7 (p. 5, 2)** ‹ὑπώπτευσε·› ὑπενόησε. *hmnsy*

plan **I 7 (p. 5, 3)** ‹καταφλεχθέντα·› διόλου φλεχθέντα. *y*

plan **I 7 (p. 5, 3)** ‹ἐκ τῶν λειψάνων·› ἐκ τῶν ὑπολειφθέντων μερῶν. *hmnsy*

plan **I 7 (p. 5, 3)** ‹συμβαλών·› νοήσας. *hmnsy*

plan **I 8 (p. 5, 5)** ‹μεθ' ἡμέραν·› κατὰ τὴν ἡμέραν, ἔστι δὲ ἐπίρρημα. *hmnsy*

plan **I 8 (p. 5, 6)** ‹νύκτωρ·› κατὰ τὴν νύκτα. *hmy*

plan **I 8 (p. 5, 7)** ‹καθευδούσας·› κοιμωμένας. τὸ καθεύδειν, τὸ κοιμᾶσθαι καὶ τὸ ἰαύειν δηλοῦσι μὲν τὸ ὑπνοῦν, ἐνίοτε δὲ λαμβάνονται καὶ ἐπὶ τῆς ψιλῆς κατακλίσεως ἐν τῇ εὐνῇ. *hmy*

plan **I 8 (p. 5, 7)** ‹ἐπιφοιτᾷ τοῖς ἔργοις·› κατὰ τῶν ἔργων φοιτᾷ. *hmy*

plan **I 8 (p. 5, 8)** ‹λυμαίνεται·› βλάβην ἐπάγει. *hmy*

2 Cf. schol. I 2 (p. 2, 27) ad πεφεισμένως. **3** Cf. schol. I 7 (p. 4, 22) ad οἷον. **4** Hsch. ε 4885 *ἐπίκουρος· βοηθός. Cyr. ε 477 Hag. ἐπίκουρος· σύμμαχος ἢ βοηθός. Syn. ε 693 ἐπίκουρος· βοηθός (Su. ε 2407; Phot. ε 1599). **5–6** Moschop. Comm. Hes. Op. 734 παρακαλῶ τὸ παρ' ἐμὲ ἕλκω, ἢ παρά τι ἕτερον. Schol. Eur. Or. 1583 (ed. Dindorf) παρακαλεῖς· ἕλκεις ἡμᾶς. **11** Schol. Soph. Oed. Col. 1474 συμβαλών· νοήσας, στοχασάμενος. Cf. schol. I 10 (p. 6, 15) ad συμβάλωσιν. **12** Schol. Aristoph. Plut. 930 (ed. Dübner) μεθ' ἡμέραν· κατὰ τὴν ἡμέραν. **14** Schol. Aeschyl. Sept. 721k νύκτωρ· κατὰ τὴν νύκτα. Schol. Soph. Ai. 47a νύκτωρ· κατὰ τὴν νύκτα. Cf. schol. I 9 (p. 6, 5) ad νύκτωρ. **15–17** Hsch. κ 137 καθεύδειν· κοιμᾶσθαι. ὑπνοῦν. [Moschop.] Voc. Att. s.v. τὸ καθεύδειν τὸ κοιμᾶσθαι τὸ ἰαύειν δηλοῦσι μὲν τὸ ὑπνοῦν, ἐνίοτε δὲ λαμβάνονται καὶ ἐπὶ τῆς ψιλῆς κατακλίσεως. Cf. schol. X 18 (p. 241, 5) ad καθεύδειν. **20** [Zon.] s.v. λελυμασμένος· βεβλαμμένος. ἀπὸ τοῦ λύμη, ἡ βλάβη, λυμαίνω, καὶ λελύμαγκα, λελύμαμμαι, καὶ λελυμαμμένος, καὶ τροπῇ τοῦ μ εἰς ς λελυμασμένος. Cf. schol. I 9 (p. 5, 24) ad λυμαίνονται.

5–6 παρακαλῶ τὸ ἕλκω καὶ τὸ αἰτοῦμαι om. n **9** ἀπολειφθέντων s **10** μερῶν h m n s ὀστῶν y **12** ἔστι δὲ om. n s **12–13** ἐπίρρημα h m n s ποιητικόν y

I 8 (p. 5, 9) ‹καθεύδουσιν·› κοιμῶνται. *y* plan

I 8 (p. 5, 9) ‹ἅτε·› τὸ ἅτε ἐπίρρημά ἐστι συγκείμενον ἀπὸ τοῦ Α ὑποτακτικοῦ οὐδετέρου ἄρθρου καὶ τοῦ ΤΕ συνδέσμου. συνυπακούεται δὲ ἡ ΚΑΤΑ πρόθεσις ἀττικῶς καὶ ἔστιν ἀντὶ τοῦ καθά. *hmy* plan

I 8 (p. 5, 9) ‹ἅτε πεπονηκυῖαι·› καθὰ κεκοπιακυῖαι. *y* plan

I 8 (p. 5, 9) ‹πεπονηκυῖαι·› κεκοπιακυῖαι. *hm* plan

I 8 (p. 5, 10) ‹ἐλλοχῶσιν·› ἐνεδρεύουσιν ἀπὸ τῆς ΕΝ προθέσεως καὶ τοῦ λόχος τὸ κοινῶς ἔγκρυμμα. *hmy* plan

I 8 (p. 5, 10) ‹τὸν φῶρα·› τὸν κλέπτην. *hmy* plan

I 8 (p. 5, 10) ‹παίουσιν·› τύπτουσιν. *hmy* plan

I 8 (p. 5, 11) ‹πεφεισμένως·› ἐγκρατῶς. *hmnsy* plan

I 8 (p. 5, 11) ‹ἐξωθοῦσι·› ἐκβάλλουσι. *hmnsy* plan

I 8 (p. 5, 11) ‹τοῖς πτεροῖς·› διὰ τῶν πτερῶν. *hmnsy* plan

I 8 (p. 5, 11–12) ‹φυγάδα εἶναι·› ταὐτὸν εἰπεῖν φυγαδεύειν. L^1 plan

I 8 (p. 5, 12) ‹πέφυκε·› ὑπάρχει. *hmnsy* plan

I 8 (p. 5, 13) ‹λίχνος·› λαίμαργος. *y* plan

I 8 (p. 5, 13) ‹δύω κακώ·› ἔχων δηλονότι. L^1 plan

I 8 (p. 5, 13) ‹κακώ·› κακά. *y* plan

2–5 [Moschop.] Voc. Att. s.v. τὸ ἅτε ἐπίρρημά ἐστι συγκείμενον ἀπὸ τοῦ Α ὑποτακτικοῦ οὐδετέρου ἄρθρου καὶ τοῦ ΤΕ συνδέσμου. συνυπακούεται δὲ ἡ ΚΑΤΑ πρόθεσις ἀττικῶς καὶ ἔστιν ἀντὶ τοῦ καθά. **7** Schol. rec. Aristoph. Nub. 1049c πονῆσαι· κοπιᾶσαι. Schol. Eur. Or. 1615 (ed. Dindorf) πονήσας· κοπιάσας. **8–9** Cf. schol. I 2 (p. 2, 27) ad λοχῶν. **10** Hsch. φ 1105 φώρ καὶ φῶρας· κλέπτας, λῃστάς. κατασκόπους, πληθυντικῶς καὶ ἑνικῶς. Cyr.. φ 201 Hag. φώρ· λῃστής· κλέπτης. Su. φ 662 φώρ· ὁ κλέπτης. ἡ δοτικὴ φωρί. Phot. φ 371 φώρ· κλέπτης. [Zon.] s.v. φώρ· ὁ κλέπτης. καὶ κλίνεται φωρός. παρὰ τὸ φὲρ καὶ φὼρ μεταθέσει τοῦ ε εἰς ω. ὁ τὰ ἀλλότρια φέρων. **11** Lex. rhet. 283 παίουσι· τύπτουσι. [Zon.] s.v. παίειν· τὸ τύπτειν καὶ τὸ ἵστασθαι τῆς ὁρμῆς. Schol. Aeschyl. Pers. 463a παίουσι· τύπτουσι. Schol. Eur. Hec. 564 (ed. Dindorf) παίειν· τύπτειν διὰ τοῦ ξίφους. **12** Cf. schol. I 8 (p. 5, 18) ad πεφεισμένως. **13** Georg. Lacap. Epim. p. 19–20 Lindstam τὸ δὲ ἐξωθεῖται ἀντὶ τοῦ ἐκβάλλει καὶ ἐξορίζει, ὅθεν καὶ ἐξώστης ἄνεμος. **17** Hsch. π 2133 πέφυκεν· ὑπάρχει. ἐγένετο. Schol. Aeschyl. Prom. 111 (ed. Smyth) πέφυκε· ὑπάρχει. **18** Hsch. λ 1178 *λίχνος· ὀψοφάγος, λαίμαργος. λιμβός. πολυπράγμων. προαπτόμενος ‹κατ'› ἐπιθυμίαν ‹τῶν ὄψων›. Cyr. λ 106 Hag. λίχνος· προαπτόμενος τῶν ὄψων· κατ' ἐπιθυμίαν.

12 ἐγκρατεῖς n **14** τῶν ‹πτερ›ῶν n ‹τ›ῶν ‹πτερ›ῶν s

plan **I 8 (p. 5, 13)** ‹κηρίων·› κηρὸς ὁ κεχωρισμένος τοῦ μέλιτος, κηρίον δὲ τὸ σὺν μέλιτι. *y*

plan **I 8 (p. 5, 14)** ‹νομάς·› συνήθεις βοσκάς. *y*

plan **I 8 (p. 5, 14)** ‹ἐξορμήσωσιν·› ἐξέλθωσιν. *hmy*

plan **I 8 (p. 5, 14–15)** ‹ὠσάμενος ἔσω·› ἑαυτὸν ἔσω βαλών. *hmnsy*

plan **I 8 (p. 5, 15)** ‹ἐμφορούμενος·› ἐμπιπλάμενος. *hmy*

plan **I 8 (p. 5, 15)** ‹κεραΐζων·› φθείρων. *hmy*

plan **I 8 (p. 5, 16)** ‹τῆς νομῆς·› a. τῆς βοσκῆς. *hmy*

plan b. νομὴ ἀπὸ τοῦ νέμεσθαι τὸ βόσκεσθαι, ἀφ᾽ οὗ καὶ εὐνομία λέγεται μελισσῶν ἡ καλὴ βοσκή· ἀπὸ δὲ τοῦ νέμω τὸ δίδωμι γίνεται νόμος καὶ διανομή, ἡ πρὸς πολλοὺς δόσις καθ᾽ ἕνα, καὶ εὐνομία, ὅταν ὦσι καλοὶ νόμοι ἢ ὅταν ἐνεργῶνται καλῶς οἱ κείμενοι νόμοι. *hm*

plan **I 8 (p. 5, 17)** ‹ὑποστρέψασαι·› ἐπανελθοῦσαι. *y*

plan **I 8 (p. 5, 17)** ‹αὐτῷ·› τῷ κηφῆνι. *y*

plan **I 8 (p. 5, 17)** ‹ἐνταῦθα·› τότε· χρονικόν. *y*

plan **I 8 (p. 5, 18)** ‹πεφεισμένως·› ἐγκρατῶς. *hmnsy*

plan **I 8 (p. 5, 18)** ‹παίουσιν·› τύπτουσιν. *y*

plan **I 8 (p. 5, 18)** ‹τρέψαι·› κινῆσαι. *y*

plan **I 8 (p. 5, 19)** ‹ἐμπεσοῦσαι·› ἐπιθέμεναι. *hmnsy*

plan **I 8 (p. 5, 19)** ‹διαλοῶσι·› a. συντρίβουσι. *hmnsy*

b. γράφεται ἀλλοιοῦσι. *K*

plan **I 8 (p. 5, 20)** ‹μεμπτήν·› ἀξίαν μέμψεως καὶ κατηγορίας. *y*

4 Schol. Eur. Or. 1240 (ed. Dindorf) ἐξορμώμεθα· ἐξέλθωμεν. **7** Hsch. κ 2250 *κεραΐζων· ἀναιρῶν. πορθῶν. φθείρων (Hom. Il. XVI 752). Schol. Opp. Hal. II 610 κεραΐζων· κόπτων, κατακόπτων, φθείρων, διακόπτων, πορθῶν καὶ διαφθείρων. **8** Hsch. ν 634 νομή· *τροφή, βοσκή. Cyr. ν 104 Hag. νομή· βοσκή. **9–13** [Moschop.] Voc. Att. s.v. νομὴ ἀπὸ τοῦ νέμεσθαι τὸ βόσκεσθαι, ἀφ᾽ οὗ εὐνομία λέγεται μελισσῶν, ἤγουν καλὴ βοσκή. ἀπὸ δὲ τοῦ νέμω τὸ δίδωμι γίνεται νόμος, καὶ διανομὴ ἡ πρὸς πολλοὺς δόσις καθ᾽ ἕνα, καὶ εὐνομία, ὅταν ὦσι καλοὶ νόμοι ἢ ὅταν ἐνεργῶσι καλῶς οἱ κείμενοι νόμοι. Thom. Mag. Ecl. pp. 249, 18–250, 2 ἀπὸ τοῦ νέμομαι τὸ βόσκω νομή ἡ βοσκή, καὶ εὐνομία, ὅταν νομῆς εὖ ἔχωσι τὰ ζῷα· ἀπὸ δὲ τοῦ νέμω τὸ μερίζω νόμος, καὶ διανομή ἡ πρὸς πολλοὺς δόσις καθ᾽ ἕνα· ὅθεν καὶ εὐνομία, ὅταν πόλις καλῶς ὑπὸ νόμων διοικῆται. **16** Cf. schol. XI 10 (p. 262, 19) ad ἐνταῦθα. **17** Cf. schol. I 8 (p. 5, 11) ad πεφεισμένως. **19** Schol. Aeschyl Sept. 255i τρέψον· κίνησον. **23** Su. μ 575 μεμπτέος· μέμψεως ἄξιος.

5 βαλλών h **8** τῆς om. y **10** ἤγουν καλὴ βοσκή h

I 8 (p. 5, 20) ‹γαστριμαργίας·› τῆς μανίας τῆς γαστρός. *y* plan

I 8 (p. 5, 21) ‹ἀδηφαγίας·› a. ἀδηφάγος ὁ πολλὰ ἐσθίων, ἀφ' οὗ «ἀδηφάγοι τριήρεις» (cf. Lys. frr. 121a–b Carey), αἱ πολλὰ ἀναλίσκουσαι, καὶ ἀδηφάγος λύχνος (cf. Alc. fr. 21 K.-A.), ὁ πότης. *hmnsy* plan

b. πολλῆς πλησμονῆς τῆς γαστρός. *y* plan

I 8 (p. 5, 21) ‹τὴν ψυχήν·› τὴν ζωήν. *hmnsy* plan

I 8 (p. 5, 21) ‹ἔτισε·› ἔδωκε. *hmnsy* plan

I 9 (p. 5, 23) ‹ἀργοί·› ἀργὸς ἐπὶ ἀρσενικοῦ καὶ ἐπὶ θηλυκοῦ ἡ ἀργὸς παρὰ τοῖς Ἀττικοῖς, ὡς παρ' Ἀριστοφάνει «οὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα» (Nub. 53) καὶ παρὰ Λουκιανῷ «ἀργὸς plan

1 Et. Gud. s.v. γαστριμαργία· ἡ περὶ τὴν γαστέρα μανία· μαργαίνειν γὰρ λέγεται παρὰ τοῖς ἔξω τὸ μαίνεσθαι καὶ μάργος καλεῖται ὁ μανιώδης· παρὰ τὸ μαργαίνειν, ὅ ἐστι μαίνεσθαι, τὴν γαστέρα. διαφέρει δὲ γαστριμαργία λαιμαργίας· γαστριμαργία μὲν γάρ ἐστιν ἡ τῆς γαστρὸς χόρτασις, λαιμαργία δὲ ἡ τοῦ λαιμοῦ ἡδονή, ἤτοι τὰ γλυκάσματα. Cf. schol. I 3 (p. 3, 5) ad γαστρός. **2–5** Harp. s.v. ἀδηφάγους τριήρεις (p. 10, 2–7 Dindorf = α 29 Keaney)· Λυσίας λέγει ἐν τῇ ὑπὲρ Εὐκρίτου διαμαρτυρίᾳ (fr. 121a Carey), εἰ γνήσιος ὁ λόγος, καὶ Ἀδηφάγον Πεντηκόντορον Φίλιστος (FGrHist 556 F 68)· λέγοιεν δ' ἂν τὰς ἐντελομίσθους καὶ πολλὰ ἀναλισκούσας. ἔοικε δὲ ἐκ μεταφορᾶς τῶν ἵππων τῶν τελείων καὶ ἀγωνιστῶν λέγεσθαι, οἵτινες εἰώθασιν «ἔδμεναι ἄδδην» κατὰ τὸν ποιητήν (Hom. Il. V 203). Ἀλκαῖος δὲ ἐν τῇ Κωμῳδοτραγῳδίᾳ (fr. 21 K.-A.) τοὺς πότας λύχνους ἀδηφάγους εἶπεν (Su α 469; Phot. α 343). [Moschop.] Voc. Att. s.v. ἀδδηφάγος ὁ πολλὰ ἐσθίων, ἀφ' οὗ ἀδδηφάγοι τριήρεις, αἱ πολλὰ ἀναλίσκουσαι, καὶ ἀδδηφάγος λύχνος, ὁ πότης. **8** Schol. Soph. Oed. tyr. 810 ἔτισεν· ἔδωκε. **9–24,2** Su. α 3783 ἀργὸν ἔτος· κατὰ ἑπταετίαν ἤγετο παρὰ Ἰουδαίοις ὁμοίως ταῖς ἑβδομάσιν ἡμέραις. καὶ ἀργός, ἐπὶ θηλυκοῦ. Ἀριστοφάνης Νεφέλαις (53)· «οὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα». Planud. Epim. ined. (ε^9 f. 107^r) ἀργὸς ἐπὶ ἀρσενικοῦ καὶ ἐπὶ θηλυκοῦ ἡ ἀργὸς παρὰ τοῖς Ἀττικοῖς, ὡς παρ' Ἀριστοφάνει «οὐ μὴ ἐρῶ γε ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα» (Nub. 53). [Moschop.] Voc. Att. s.v. ἀργὸς ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ παρ' Ἀττικοῖς. Ἀριστοφάνης (Nub. 53) «ἀλλ' ἐσπάθη οὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν». Thom. Mag. Ecl. p. 3, 8–13 ἀργὸς ἡμέρα καὶ ἀργὸς γυνὴ κρεῖττον ἢ ἀργή. Ἀριστοφάνης ἐν Νεφέλαις (53)· «οὐ μὴν ἐρῶ γ', ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα». Λουκιανὸς ἐν τῷ τῆς μυίας ἐγκωμίῳ (8)· «ἀργὸς δὲ αὐτὴ καὶ ἄνετος οὖσα τὰ ὑπὸ τῶν ἄλλων ποιούμενα καρποῦται».

2 ἀδηφάγος om. n s **3** τριήρεις ἀδδηφάγοι n s | πολλὴν n **4** ἀδδηφάγος n s

δὲ αὐτὴ καὶ ἄνετος οὖσα τὰ ὑπὸ τῶν ἄλλων πονούμενα καρποῦται» (Musc. enc. 8). *hmnsy*

plan **I 9 (p. 5, 24)** ‹κηφηνώδεις τὸν τρόπον·› βλαπτικαί. *y*

plan **I 9 (p. 5, 24)** ‹τὸν τρόπον·› a. τὸ ἦθος. *hmy*

plan b. κατά. *hm*

plan **I 9 (p. 5, 24)** ‹λυμαίνονται·› βλάβην ἐπάγουσι. *y*

plan **I 9 (p. 5, 25)** ‹ἐπιβουλεύουσι·› ἐπιτίθενται. *y*

plan **I 9 (p. 5, 25)** ‹τρέφονται·› τὸ τρέφομαι δοτικῇ συντάσσεται καὶ ὅτε πρὸς τὸν τρέφοντα λέγεται καὶ ὅτε πρὸς τὴν τροφήν, οἷον τρέφομαί σοι, ἤγουν ὑπὸ σοῦ, καὶ τρέφομαι ἄρτῳ. τὸ δὲ σιτοῦμαι αἰτιατικῇ, δηλοῖ γὰρ τὸ ἐσθίω ὡς παρ᾽ Ἀριστοφάνει· «πῶς οὖν κυνὸς βορὰν σιτούμενος μάχῃ σὺ κυνοκεφάλῳ;» (Eq. 415–416). *hmnsy*

plan **I 9 (p. 5, 25–26)** ‹ἐκ τῶν ἀνθέων·› ἄνθος τὸ τῶν βοτανῶν ἀφ᾽

6 Cf. schol. I 8 (p. 5, 8) ad λυμαίνεται. **8–12** [Moschop.] Voc. Att. s.v. τὸ τρέφομαι δοτικῇ συντάσσεται. καὶ ὅτε πρὸς τὸν τρέφοντα λέγεται καὶ ὅτε πρὸς τὴν τροφήν, οἷον τρέφομαί σοι, ἤγουν ὑπὸ σοῦ, καὶ τρέφομαι ἄρτῳ. τὸ δὲ σιτοῦμαι αἰτιατικῇ, δηλοῖ γὰρ τὸ ἐσθίω, ὡς παρ᾽ Ἀριστοφάνει (Eq. 415–516)· «πῶς οὖν κυνὸς βορὰν σιτούμενος μάχῃ σὺ κυνοκεφάλῳ;». Thom. Mag. Ecl. p. 356, 15–357, 3 τὸ τρέφομαι καὶ ὅταν πρὸς τὸν τρέφοντα λέγηται καὶ ὅταν πρὸς τὴν τροφὴν, δοτικῇ συντάσσεται, οἷον τρέφομαί σοι ἤγουν ὑπὸ σοῦ τρέφομαι, καὶ τρέφομαι ἄρτῳ. σιτοῦμαι δὲ αἰτιατικῇ, ὡς παρ᾽ Ἀριστοφάνει (Eq. 415–516)· «πῶς οὖν κυνὸς βορὰν σιτούμενος μάχῃ σὺ κυνοκεφάλῳ;». **14–25,10** Planud. Epim. ined. ($ε^6$ f. 107^r, $ε^9$ f. 107^r) = [Moschop.] Voc. Att. s.v. ἄνθος τὸ τῶν βοτανῶν ἀφ᾽ οὗ ἄνθινος στέφανος, ὁ ἐξ ἀνθέων, ὥσπερ χρύσινος στατὴρ δηλονότι, ἢ τοιοῦτό τι ἐκ χρυσοῦ. ἀλλὰ τὸ μὲν ἄνθινος εἰ μὴ τὸ στέφανος ἔχει προσκείμενον [προκείμενον $ε^6ε^9$] ἀτελές ἐστι. τὸ δὲ χρύσινος μόνον ἀεὶ λέγεται καὶ δηλοῖ νόμισμα ἐκ χρυσοῦ. ἀπὸ δὲ τοῦ τῶν βοτανῶν ἄνθους λέγεται ἄνθος κατὰ μεταφορὰν καὶ τὸ χρῶμα, ὡς παρὰ Φιλοστράτῳ «τῷ τῆς ἴδης ἄνθει ῥαίνεται» (Im. I 28, 4), ἤγουν τῷ χρώματι τῆς ἴδης. ἔστι δὲ ἴδη βοτάνη τις. καθὸ λέγεται τὸ «ἀνθοκρόκοισι πήναις» παρ᾽ Εὐριπίδῃ (Hec. 42–43) [ἤγουν κροκοβαφέσι add. $ε^6ε^9$]. καὶ τὸ «οὐ γάρ σε [γάρ με $ε^6$] μὴ γνῶσιν ᾧδ᾽ ἠνθισμένον» παρὰ Σοφοκλεῖ (El. 42–43), ἀντὶ τοῦ κεχρωματισμένον. Georg. Lacap. Epim. p. 78, 6–9 Lindstam ἄνθος· τὸ τῆς πόας. καὶ ἄνθη· ἡ τοῦ ἄνθους γένεσις. καὶ ἀνθῶ ἀμετάβατον. καὶ ἄνθινος στέφανος ὁμοίως. καὶ ἀνθίζω παρὰ Σοφοκλεῖ (El. 42–43)· «οὐ γὰρ – γνῶσ᾽ οὐδ᾽ ὑποπτεύσουσιν ὧδ᾽ ἠνθισμένον».

1 καρπούμενα καρποῦται y **10** [τ]ρέφομαι s | ἤγουν om. n s **11** [γὰρ τὸ ἐσθίω ὡς] παρ᾽ Ἀριστοφάνει n **12** σὺν κυνοκεφάλῳ m y

οὗ ἄνθινος στέφανος, ὁ ἐξ ἀνθέων, ὥσπερ χρύσινος στατὴρ δηλονότι, ἢ τοιοῦτό τι ἐκ χρυσοῦ. ἀλλὰ τὸ μὲν ἄνθινος εἰ μὴ τὸ στέφανος ἔχει προσκείμενον ἀτελές ἐστι, τὸ δὲ χρύσινος μόνον ἀεὶ λέγεται καὶ δηλοῖ νόμισμα ἐκ χρυσοῦ. ἀπὸ δὲ τοῦ τῶν βοτανῶν ἄνθους λέγεται ἄνθος κατὰ μεταφορὰν καὶ τὸ χρῶμα, ὡς παρὰ Φιλοστράτῳ «τῷ τῆς ἴδης ἄνθει ῥαίνεται» (Im. I 28, 4), ἤγουν τῷ χρώματι τῆς ἴδης. ἔστι δὲ ἡ ἴδη βοτάνη τις. καθὸ λέγεται τὸ «ἀνθοκρόκοισι πήναις» παρ᾽ Εὐριπίδῃ (Hec. 42–43), ἤγουν κροκοβαφέσι, καὶ τὸ «οὐ γάρ σε μὴ γνῶσιν ὧδ᾽ ἠνθισμένον» παρὰ Σοφοκλεῖ (El. 42–43), ἀντὶ τοῦ κεχρωματισμένον. *hmnsy*

I 9 (p. 5, 26) ‹σύννομοι·› a. τὸ σύννομοι ἐπὶ τῶν ὁμοῦ plan βοσκομένων ζῴων λέγεται, ἀπὸ τοῦ νέμεσθαι τὸ βόσκεσθαι, ἀφ᾽ οὗ λέγεται καὶ εὐνομία μελισσῶν, ἤγουν καλὴ νομή. *hmnsy*

b. ἀπὸ δὲ τοῦ νέμω τὸ δίδωμι γίνεται νόμος, καὶ διανομὴ ἡ plan πρὸς πολλοὺς δόσις καθ᾽ ἕνα, καὶ εὐνομία ὅταν ὦσι καλοὶ νόμοι ἢ ὅταν ἐνεργῶνται καλῶς οἱ κείμενοι νόμοι. *y*

c. ὁμοῦ νεμόμεναι καὶ διάγουσαι. *y* plan

I 9 (p. 5, 27) ‹ἄτεχνοι·› μὴ ἔχουσαι φυσικὴν ἐπιτηδει- plan ότητα. *hmy*

I 9 (p. 5, 27) ‹ἐργασίαν·› πρᾶξιν. *y* plan

I 9 (p. 5, 27) ‹κομιδήν·› ἐπιμέλειαν. *y* plan

I 9 (p. 5, 28) ‹ἄπρακτοι·› a. πράττω τὸ ἐνεργῶ, ἀφ᾽ οὗ plan ἄπρακτος, ὁ ἀνενέργητος· πράττω καὶ τὸ διάκειμαι οἷον εὖ πράττω ἀντὶ τοῦ καλῶς διάκειμαι, καὶ κακῶς πράττω ἤγουν κακῶς διάκειμαι, ἀφ᾽ οὗ εὐπραγία καὶ δυσπραγία. *hmnsy*

b. ἀνενέργητοι. *y* plan

11–16 Georg. Lacap. Epim. p. 138, 19–21 Lindstam ὅτι νέμω λέγεται καὶ τὸ βόσκω. καὶ νομεὺς ἀπὸ τούτου· ὁ βοσκός. καὶ σύννομοι· οἱ ὁμοῦ βοσκόμενοι, εἴτε ἵπποι, εἴτε βόες. Cf. schol. I 4 (p. 3, 14–15) ad τὸν σύννομον. **21** Hsch. κ 3443 *κομιδή· ἡ ἐπιμέλεια, θεραπεία. **22–26** [Moschop.] Voc. Att. s.v. πράττω τὸ ἐνεργῶ, ἀφ᾽ οὗ ἄπρακτος, ὁ ἀνενέργητος· πράττω δὲ τὸ διάκειμαι, οἷον εὖ πράττω ἀντὶ τοῦ καλῶς διάκειμαι, καὶ κακῶς πράττω ἤγουν κακῶς διάκειμαι, ἀφ᾽ οὗ εὐπραγία τὸ (l. καὶ) δυσπραγία.

1–2 δηλονότι om. y **4** δὲ om. n s **7** ἡ ante ἴδη om. n s ἔστι δ᾽ ἡ ἴδη y **13** καλον (ὴ s.l. unde ‹καλ›ὴ) νομή s **18** μὴ ἔχουσα h οὐκ ἔχουσι y **24** ἤγουν καλῶς y ἀντὶ τοῦ καλῶς cett. **25** εὐπραγία ἡ δυσπραγία s

plan **I 9 (p. 5, 28)** ‹πάντῃ·› παντελῶς. *y*

plan **I 9 (p. 5, 28)** ‹αὐτῶν·› ἀπ᾽. *hm*

plan **I 9 (p. 5, 29)** ‹κομίζουσι·› φέρουσι. *y*

plan **I 9 (p. 5, 29)** ‹πρεσβυτέραις·› a. γηραιοτέραις ὕδωρ φέρουσιν. *y*

plan b. πρέσβυς ὁ γηραιὸς καὶ πρεσβύτης καὶ ἀμφότερα διὰ τοῦ Υ ψιλοῦ. ἔστι δὲ τὸ μὲν πρέσβυς ἄκλιτον, τὸ δὲ πρεσβύτης κλίνεται πρεσβύτου. *hmnsy*

plan **I 9 (p. 6, 2)** ‹δορυφορίαν·› προπομπήν. *y*

plan **I 9 (p. 6, 2)** ‹ἀπεκρίθησαν·› ἐχωρίσθησαν, ἐτάχθησαν. *hmnsy*

plan **I 9 (p. 6, 3)** ‹ἔργον·› ἐργασίαν, πρᾶξιν. *hmnsy*

plan **I 9 (p. 6, 3)** ‹τῶν μελιττῶν·› ἀπό. *hmnsy*

plan **I 9 (p. 6, 4)** ‹δεῖ·› χρεῖα ἐστί. *mnsy*

plan **I 9 (p. 6, 5)** ‹ἀνέχονται·› ὑπομένουσιν. *y*

plan **I 9 (p. 6, 5)** ‹εἴσω μέλιτταν·› δέχεσθαι. *y*

plan **I 9 (p. 6, 5)** ‹νύκτωρ·› a. κατὰ τὴν νύκτα. *hmnsy*

plan b. ἐπὶ μὲν τῆς νυκτὸς λέγεται τὸ νύκτωρ ἐπίρρημα ἀντὶ τοῦ κατὰ τὴν νύκτα. ἐπὶ δὲ τῆς ἡμέρας λέγεται τὸ μεθημέραν ἀντὶ τοῦ κατὰ τὴν ἡμέραν. ἐπὶ ταύτης τῆς σημασίας λέγεται παρ᾽ Ἀττικοῖς ἐλλειπτικῶς τὸ νυκτὸς καὶ ἡμέρας, ἤγουν ἐπὶ τῆς νυκτὸς καὶ ἐπὶ τῆς ἡμέρας. *hmns*

plan c. ἐπὶ μὲν τῆς νυκτὸς λέγεται τὸ νύκτωρ ἐπίρρημα, ἤγουν κατὰ τὴν νύκτα. ἐπὶ δὲ τῆς ἡμέρας τὸ μεθημέραν, ἤγουν κατὰ τὴν ἡμέραν. παρ᾽ Ἀττικοῖς ἐλλειπτικῶς νυκτὸς καὶ ἡμέρας, ἤγουν ἐπὶ τῆς νυκτὸς καὶ ἐπὶ τῆς ἡμέρας. *y*

plan **I 9 (p. 6, 5)** ‹φρουροῦσιν·› φυλάττουσιν. *y*

plan **I 9 (p. 6, 6)** ‹οἰκοδομίαν·› a. κατασκευήν. *y*

plan b. οἰκοδομὴ κοινόν, οἰκοδομία ἀττικόν. *y*

plan **I 10 (p. 6, 8)** ‹διαγνοίη·› a. ἐπισταμένως γνοίη, ἀφ᾽ οὗ διάγνωσις ἡ μετὰ ἐπιστασίας καὶ σκέψεως γνῶσις. *hms*

1 Schol. Opp. Hal. II 575 πάντῃ· παντελῶς. **5–7** [Moschop.] Voc. Att. s.v. πρέσβυς ὁ γηρεὸς (l. γηραιὸς) καὶ πρεσβύτης, ἀμφότερα διὰ τοῦ Υ ψιλοῦ. ἔστι δὲ τὸ μὲν πρέσβυς ἄκλιτον, τὸ δὲ πρεσβύτης κλίνεται πρεσβύτου. **9** Schol. Thuc. II 49, 1 ἀπεκρίθη· ἐχωρίσθη. **12** Hsch. δ 425 δεῖ· πρέπει. χρή. χρεία ἐστίν. δεσμεύει. Moschop. Sched. p. 161 δεῖ ἀντὶ χρεία ἐστίν. Schol. Soph. Oed. tyr. 406 δεῖ· χρεία ἐστί. **13** Cf. schol. I 1 (p. 2, 4) ad ἀνέχονται. **15** Cf. schol. I 8 (p. 5, 6) ad νύκτωρ. **25** Hsch. φ 919 *φρουρεῖ· φυλάττει, ἢ προφυλάττει (Soph. fr. 37 R.). Syn. φ 207 φρουρεῖ· φυλάσσει (Su. φ 740; Phot. φ 312).

b. ἐπισταμένως γνοίη, ἀπὸ τοῦ διαγνοίη καὶ διάγνωσις ἡ μετ᾽ ἐπιστασίας καὶ σκέψεως γνῶσις. *y* plan

I 10 (p. 6, 9) ‹αἱ μὲν αὐτοέτεις·› a. χρονιαῖαι καὶ τοῦ ἑνὸς οὖσαι χρόνου. *y* plan

b. αὐτοέτης παῖς ὁ χρονιαῖος καὶ διέτης παῖς καὶ τριέτης καὶ πεντέτης καὶ ἑξέτης καὶ ἑπτέτης καὶ ὀκτώτης καὶ δεκέτης· καὶ ἐπὶ θηλυκοῦ αὐτοέτις, θῆλυς ἡ χρονιαία, καὶ διέτις καὶ τριέτις καὶ πεντέτις καὶ ἑξέτις καὶ ἑπτέτις καὶ δεκέτις κόρη. ἐπὶ δὲ τοῦ χρόνου βαρυτόνως αὐτοετὴς χρόνος, διετὴς καὶ τριετὴς καὶ τετραετὴς καὶ πενταετὴς καὶ ἑξαετὴς χρόνος καὶ ἑπταετὴς καὶ ὀκτωετὴς χρόνος καὶ δεκαετής. αἱ αὐτοέτεις μέλισσαι καὶ αἱ αὐτοέτεις γεννηθεῖσαι ὄιες ἢ χρονιαῖαι καὶ αὐτοέτεις κόραι. *y* plan

I 10 (p. 6, 9) ‹στιλπναί·› a. διαφανεῖς, στίλβουσαι. *y* plan

b. στίλβει τὰ λαμπρὰ πάνυ καὶ λεῖα καὶ διαφανῆ, ἀφ᾽ οὗ στιλπνόν, τὸ στιλβηδόνος μετέχον. *hmsy* plan

I 10 (p. 6, 9) ‹ἐοίκασιν·› a. ἔοικεν ἀντὶ τοῦ φαίνεται, καὶ plan

3–4 Cf. schol. I 59 (p. 27, 4) ad αὐτοετεῖς. **13** Hsch. σ 1864 στιλπναί· στίλβουσαι, λαμπραί. Schol. rec. Aristoph. Nub. 767b διαφανῆ· λαμπράν, στιλπνήν. **14–15** Schol. Philostr. Im. I 8 p. 228 Webb στίλβειν ἐπὶ τῶν λαμπρῶν καὶ λείων καὶ οἷον ἀκτῖνας τῆς λαμπρότητος ἀφιέντων, καὶ στιλβηδὼν ἡ τῶν τοιούτων λαμπρότης, καὶ στιλπνὸν τὸ στιλβηδόνος μετέχον. **16–28,11** Planud. Epim. p. 74 Lindstam ἔοικεν δηλοῖ καὶ τὸ φαίνεται, ὡς τὸ «ἀπιστεῖν ἔοικε» (Phil. Im. I 29, 3). καὶ τὸ ὁμοιοῦται, ὡς τὸ ἔοικεν ὁ δεῖνα τῷ δεῖνι, καὶ τὸ πρέπει ποιητικῶς, καὶ Ὅμηρος (Il. I 119)· «ἐπεὶ οὐδὲ ἔοικε». καὶ τὸ μὲν πρῶτον ἀπαρεμφάτῳ συντάσσεται, τὸ δὲ δεύτερον δοτικῇ, τὸ τρίτον ἀπόλυτον. [Moschop.] Voc. Att. s.v. ἔοικεν ἀντὶ τοῦ φαίνεται καὶ συντάσσεται ἀπαρεμφάτῳ ὡς «ἀπιστεῖν ἔοικε» (Phil. Im. I 29, 3). καὶ ἀντὶ τοῦ ὁμοιοῦται, καὶ συντάσσεται δοτικῇ. οἷον ἔοικεν ὁ δεῖνα τῷ δεῖνι. καὶ ἔοικεν ἀντὶ τοῦ πρέπει ποιητικῶς, καὶ ἔστιν ἀπόλυτον, ὡς παρ᾽ Ὁμήρῳ «ἐπεὶ οὐδὲ ἔοικεν» (Il. I 119). Thom. Mag. Ecl. p. 127, 10–15 ἔοικεν ἀντὶ τοῦ φαίνεται ἀπαρεμφάτῳ συντάσσεται, οἷον «ἔοικεν ἀπιστεῖν» (Phil. Im. I 29, 3) τοῖς λεγομένοις. ἔοικε δὲ ἀντὶ τοῦ ὅμοιός ἐστι δοτικῇ, οἷον ἔοικεν ὁ δεῖνα τῷ δεῖνι. ἔοικε δὲ ἀντὶ τοῦ πρέπει ποιητικῶς ἀσύντακτόν ἐστιν. Ὅμηρος (Il. I 119)· «ἐπεὶ οὐδὲ ἔοικεν». Georg. Lacap. Epim. p. 5, 12–18 Lindstam τὸ ἔοικε λαμβάνεται ποτὲ μὲν ἀντὶ τοῦ φαίνεται, ποτὲ δὲ ἀντὶ τοῦ ὅμοιός ἐστι· καὶ ὅτε μὲν ἀντὶ τοῦ φαίνεται, συντάσσεται ἀπαρεμφάτῳ, ὡς τὸ ἔοικεν εἰληφέναι δῶρα παρὰ Φιλίππῳ. ὅτε δὲ ἀντὶ τοῦ ὅμοιός ἐστι, συντάσσεται δοτικῇ, ὡς βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικας. ἔστι καὶ ἔοικεν ἀντὶ τοῦ

14 πάνυ καὶ λεῖα h m s   καὶ πάνυ λεῖα y

συντάσσεται ἀπαρεμφάτῳ ὡς ἐν τῷ «ἀπιστεῖν ἔοικε» (Phil. Im. I 29, 3), καὶ ἀντὶ τοῦ ὁμοιοῦται, καὶ συντάσσεται δοτικῇ οἷον ἔοικεν ὁ δεῖνα τῷ δεῖνι, καὶ ἔοικεν ἀντὶ τοῦ πρέπει ποιητικῶς, καὶ ἔστιν ἀπόλυτον ὡς παρ᾽ Ὁμήρῳ «ἐπεὶ οὐδὲ ἔοικεν» (Il. I 119). *hms*

plan b. ἔοικεν ἀντὶ τοῦ φαίνεται, καὶ συντάσσεται ἀπαρεμφάτῳ ὡς ἐν τῷ «ἀπιστεῖν ἔοικε» (Phil. Im. I 29, 3), καὶ ἀντὶ τοῦ ὁμοιοῦται, καὶ συντάσσεται δοτικῇ. Λιβάνιος· «οὐχ οὕτως ὁ Τηλέμαχος ἐῴκει τῷ πατρὶ ὡς σὺ τῷ Δημοσθένει τοὺς λόγους» (Epist. 368, 3). καὶ ἀντὶ τοῦ πρέπει ποιητικῶς, καὶ ἔστιν ἀπόλυτον ὡς παρ᾽ Ὁμήρῳ «ἐπεὶ οὐδὲ ἔοικε» (Il. I 119). *y*

plan c. ὅμοια εἰσίν. *y*

plan **I 10 (p. 6, 9)** ‹τὴν χροιάν·› κατὰ τὸ εἶδος τοῦ χρώματος. *hmsy*

plan **I 10 (p. 6, 10)** ‹πρεσβύτεραι·› γηραιότεραι. *y*

plan **I 10 (p. 6, 10)** ‹τραχεῖαι καὶ ἰδεῖν καὶ προσψαῦσαι·› a. τραχεῖαι ἰδεῖν καὶ προσψαῦσαι, ἤγουν εἰς τὸ ἰδεῖν αὐτὰς καὶ εἰς τὸ προσψαῦσαι, τουτέστιν εἰς τὴν ὅρασιν καὶ εἰς τὴν ἁφήν. τοιοῦτόν ἐστι καὶ τὸ γλυκὺς ὁ ποταμὸς πιεῖν, ἤγουν εἰς τὸ πιεῖν τινα ἐξ αὐτοῦ, τουτέστιν εἰς τὴν πόσιν. *hmsy*

plan b. εἰς τὴν ὅρασιν καὶ εἰς τὴν ἁφήν. *y*

plan **I 10 (p. 6, 10)** ῥυσσαί· a. αἱ μὴ λεῖον ἔχουσαι τὸ δέρμα καὶ εὐτραφὲς καὶ διὰ τοῦτο τετανυσμένον, ἀλλ᾽ ἀπολελυμένον ὡς συνιζάνον κοιλότητας ἐμποιεῖν. *hmsy*

plan b. τὸ δέρμα κοῖλον ἔχουσαι. *y*

plan **I 10 (p. 6, 11)** ‹ἐμπειρότεραι·› φρονιμώτεραι. *y*

plan **I 10 (p. 6, 11–12)** ‹τεχνικώτεραι·› ποριμώτεραι εἰς τὴν ἐργασίαν τοῦ μέλιτος. *y*

plan **I 10 (p. 6, 12)** ‹παιδεύσαντος·› διδάξαντος. *y*

πρέπει ποιητικῶς ἐναπόλυτον, ὡς παρ᾽ Ὁμήρῳ (Il. I 119)· «ἐπεὶ οὐδὲ ἔοικεν».
14 Schol. rec. Aristoph. Nub. 993c πρεσβυτέροις· γέρουσι, γηραιοτέροις. **21–23** Schol. Aristoph. Plut. 266 (Tzetz.) ῥυσσόν· ἐρρυτιδωμένον, γεροντόδερμον· ῥυσσοῦται γὰρ τῶν γερόντων τὸ δέρμα καὶ ὡς ταφρείας ποιεῖ καὶ σκληρύνεται καὶ οὐκ ἔστι λεῖον καὶ ἁπαλὸν καθάπερ τὸ νεοτήσιον.

12 κατὰ om. y **16–17** εἰς[1]…τουτέστιν εἰς τὸ ἰδεῖν – τουτέστιν om. y **16–17** εἰς τὸ ante προσψαῦσαι om. s **17** τουτέστι καὶ s **18** ὁ ante ποταμὸς om. y **19** ἤγουν εἰς τὴν πόσιν y **22** ἀλλ᾽ om. s | ὡς om. s **23** ποιεῖν y

I 10 (p. 6, 13) ‹ἔχουσι δὲ καὶ μαντικῶς·› μαντεύονται καὶ νοοῦσι πρὸ τῶν πραγμάτων τὰ ἐσόμενα τῷ ἀέρι. *y* plan

I 10 (p. 6, 13) ‹ὑετῶν·› ὁ σφοδρὸς ὄμβρος λέγεται ὑετός. *hmsy* plan

I 10 (p. 6, 13) ‹κρύους·› ψύξεως. *y* plan

I 10 (p. 6, 13) ‹ἐπιδημίαν·› παρουσίαν. *y* plan

I 10 (p. 6, 13–14) ‹προμαθεῖν·› γνῶναι πρὸ πολλοῦ χρόνου. *y* plan

I 10 (p. 6, 14) ‹ἀμφότερα·› τὰ δύο. *hmsy* plan

I 10 (p. 6, 14) ‹ἔσεσθαι·› γενήσεσθαι. *y* plan

I 10 (p. 6, 15) ‹συμβάλωσιν·› νοήσωσιν. *y* plan

I 10 (p. 6, 15) ‹ἐπὶ μήκιστον·› ἐπὶ πολὺν χρόνον. *y* plan

I 10 (p. 6, 15) ‹ἐκτείνουσι·› παρατείνουσι. *y* plan

I 10 (p. 6, 15–16) ‹τῆς νομῆς·› τῆς κατοικίας. *hms* plan

I 10 (p. 6, 16) ‹περιποτῶνται τοῖς σμήνεσι·› κύκλῳ καὶ πλησίον τοῦ ἐντὸς ἀπολειφθέντος πλήθους αὐτῶν. *hmsy* plan

I 10 (p. 6, 16) ‹περιθυροῦσιν·› περὶ τὴν ἑαυτῶν ὀπὴν στρέφονται. *hmsy* plan

I 10 (p. 6, 17) ‹οἰωνισάμενοι·› ἐκ σημείων τινῶν γνόντες τὸν γενησόμενον χειμῶνα. *y* plan

I 10 (p. 6, 18) ‹τὴν μέλλουσαν·› a. ἰστέον ὅτι τὸ μέλλειν, τὸ οἴεσθαι, τὸ ἐλπίζειν, τὸ προσδοκᾶν, τὸ φοβεῖσθαι, τὸ ὑπισχνεῖσθαι, ὃ λέγεται ἐπὶ καλοῦ, οἷον ὑπισχνοῦμαι ὠφελήσειν σε, καὶ τὸ ἀπειλεῖν, ὅπερ ἔχει τὸ ἐναντίον τούτου, λέγεται γὰρ ἐπὶ κακοῦ, οἷον ἀπειλῶ κακῶς ποιήσειν τινά, καὶ ὅσα τῆς σημασίας αὐτῶν εἰσι μέλλοντι συντάσσονται ἢ ἐνεστῶτι, οἷον μέλλω ποιήσειν τι, ἢ ποιεῖν, καὶ ἐλπίζω ὁμοίως καὶ προσδοκῶ καὶ τὰ ἄλλα. *hms* plan

3–4 Hsch. υ 109 ὑετός· ὄμβρος. δρόσος. ὕδωρ (Hom. Il. XII 133). Cyr. υ 13 Hag. ὑετός· ὄμβρος. **6** Hsch. ε 4722 ἐπιδημία· παρουσία. Cf. schol. I 10 (p. 6, 18) ad ἐπιδημίαν. **9** Hsch. ε 6189 *ἔσεσθαι· γενήσεσθαι (Hom. Il. V 644). Cf. schol. IV 61 (p. 99, 23) ad ἐσομένην. **10** Cf. schol. I 7 (p. 5, 3) ad συμβαλών. **20–30,7** Moschop. Constr. c. 221 ἰστέον ὅτι, τὸ μέλλειν, τὸ οἴεσθαι, τὸ ἐλπίζειν, τὸ προσδοκᾶν, τὸ φοβεῖσθαι, ὃ λέγεται ἐπὶ καλοῦ, οἷον ὑπισχνοῦμαι ὠφελήσειν σοι, καὶ τὸ ἀπειλεῖν ὅπερ ἔχει ἐναντίον τούτου, καὶ λέγεται ἐπὶ κακοῦ, οἷον ἀπειλῶ κακῶς ποιήσειν τινά, καὶ ὅσα τῆς συζυγίας αὐτῶν εἰσι, μέλλοντι πρώτῳ συντάσσεται, ἢ ἐνεστῶτι, οἷον μέλλω ποιήσειν τι ἢ ποιεῖν, καὶ ἐλπίζω ὁμοίως καὶ προσδοκῶ καὶ τ᾽ ἄλλα.

16 περὶ ἑαυτῶν m περὶ τὴν αὐτῶν s

plan b. ἰστέον ὅτι τὸ μέλλειν, τὸ οἴεσθαι, τὸ ἐλπίζειν, τὸ προσδοκᾶν, τὸ φοβεῖσθαι, τὸ ὑπισχνεῖσθαι, ὃ λέγεται ἐπὶ καλοῦ ἀεὶ, οἷον ὑπισχνοῦμαι ὠφελήσειν σε, καὶ τὸ ἀπειλεῖν, ὃ λέγεται ἐπὶ κακοῦ ἀεὶ, οἷον ἀπειλῶ κακῶς ποιήσειν τινά, καὶ ὅσα τῆς σημασίας αὐτῶν εἰσι μέλλοντι πρώτῳ συντάσσονται ἢ ἐνεστῶτι, οἷον μέλλω ποιήσειν τι, ἢ μέλλω ποιεῖν τι, καὶ ἐλπίζω ὁμοίως καὶ προσδοκῶ καὶ τὰ ἄλλα. *y*

plan **I 10 (p. 6, 18)** ‹ἐπιδημίαν·› παρουσίαν. *y*

plan **I 10 (p. 6, 18)** ‹δεδοίκασι·› φοβοῦνται. *y*

plan **I 10 (p. 6, 19)** ‹τὸ κρύος·› τὴν ψύξιν. *y*

plan **I 10 (p. 6, 20)** ‹τὸν νιφετόν·› τὴν χιόνα. *y*

plan **I 10 (p. 6, 20)** ‹ἐναντίαι·› ἐξ ἐναντίας. *y*

plan **I 10 (p. 6, 20)** ‹πνεύματος·› τοῦ ἀέρος τοῦ σφοδροῦ. *y*

plan **I 10 (p. 6, 21)** ‹βραχεῖαν·› μικράν. *y*

plan **I 10 (p. 6, 21)** ‹ἐν τοῖς ποσί·› ἐπάνω τῶν ποδῶν. *y*

plan **I 10 (p. 6, 21)** ‹τοσαύτην·› λίθον κατὰ τὸ μέγεθος φέρουσιν. *y*

plan **I 10 (p. 6, 22)** ‹εὔφορον·› εὔκολον εἰς τὸ φέρεσθαι. *hmsy*

plan **I 10 (p. 6, 22)** ‹τρόπον·› a. κατά. *hmsy*

plan b. ὁδόν. *hmsy*

plan **I 10 (p. 6, 23)** ‹ἕρμα·› στήριγμα· ἔρεισμα, ἀφ᾽ οὗ ἀνερμάτιστος ναῦς, ἣν λέγουσιν οἱ κοινοὶ ἀστύλωτον. *hmsy*

plan **I 10 (p. 6, 23)** ‹ἐπιτεχνῶνται·› ἐφευρίσκουσι. *hmsy*

plan **I 10 (p. 6, 23)** ‹πρὸς τὸν ἐμπίπτοντα·› βαρέως φερόμενον. *y*

plan **I 10 (p. 6, 23)** ‹τά τε·› κατά τε. *y*

plan **I 10 (p. 6, 24)** ‹παρατρέψῃ·› ἔξω τῆς εὐθείας ὁδοῦ τρέψῃ αὐτὰς φέρεσθαι. *y*

plan **I 10 (p. 6, 24)** ‹ἡ αὔρα·› ἡ πνοὴ τοῦ ἀνέμου. *hmsy*

8 Cf. schol. I 10 (p. 6, 13) ad ἐπιδημίαν. **11** Hsch. ν 596 νιφετός· *ἡ τῆς χιόνος καταφορά, χιὼν λεπτή (Deut. 32,2), χιονισμός· «τεύχων ἢ πολὺν ὄμβρον ἀθέσφατον ἠὲ χάλαζαν ‹ἢ νιφετόν›» (Hom. Il. X 6). **28** Et. Gen. AB α 1409 αὖρα· ἡ λεπτοτάτη πνοὴ τοῦ ἀνέμου.

21 στήριγμα add. y ἕρμα τὸ ἔρεισμα s **21–22** τὸ ante ἀνερμάτιστος add. y **28** ἡ om. m s | τοῦ ἀνέμου add. y

I 11 (p. 7, 2) ‹κατηγορεῖ·› παριστᾷ. *L¹ T*

I 11 (p. 7, 4) ‹σπάρτῳ·› σ̣π̣ά̣ρ̣τ̣ο̣ν̣ [τὸ σχοινίον, ὡς παρὰ τῷ] π̣ο̣ι̣η̣τ̣ῇ̣ «σπάρτα λέλυνται» (Hom. Il. II 135), ὅτι δ̣ὲ̣ κ̣α̣ὶ̣ οὗτος οὐδετέρως χρῆται, δῆλον ἐκ τοῦ «καὶ τούτῳ μακρῷ»· «ταύτῃ» γὰρ ἂν εἶπεν εἰ θηλυκῶς ἔχρητο. *L¹*

I 11 (p. 7, 5) ‹σπαίροντα·› ἀλλομέ̣[νην, σκα]ρ̣ίζοντα, ἐκπνέοντα τὴν ψυχήν. *L*

I 11 (p. 7, 10) ‹ἐποφθαλμιάσαντες·› a. ἐποφθαλμι[ᾶν] σημαίνει δὲ ἢ ἐπιβαλ[εῖν] τὸν ὀφθαλμὸν ἐ[ρω]τικῶς ἢ ἐπιβαλ[εῖν] τοὺς ὀφθαλ[μοὺς ἀλ]γήσαντες. *L*

b. ἐποφθαλμιᾶν τὸ φθονεῖν· νῦν δὲ τὸ ἐπιστηρίζειν τοὺς ὀφθαλμοὺς ἐρωτικῶς. *L¹*

I 11 (p. 7, 15) ‹ἐφολκόν·› ἐπαγωγόν. *K*

I 12 (p. 7, 20) ‹οἱονεί·› καθά. *y* plan

1 Lex. Vind. κ 77 κατηγορῶ τὸ κατά τινος λέγω, γενικῇ· κατηγορῶ δὲ τὸ παριστῶ ἀεὶ αἰτιατικῇ. Συνέσιος (Epist. 53 et al.)· «μῆκος ἐπιστολῆς ἀνοικειότητα κατηγορεῖ τοῦ διακομίζοντος». **2–5** Schol. Eur. Or. 537 (ed. Dindorf) σπάρτον δὲ τὸ σχοινίον, ὡς παρ' Ὁμήρῳ (Il. II 135) «σπάρτα λέλυνται» καὶ ἡ σπάρτος ἐπὶ θηλυκοῦ. ἀφ' οὗ τὸ «κόσμει ἂν ἔλαχες σπάρτον» καὶ «τὴν λίθον ποτὶ τὰν σπάρτον ἄγε». **6–7** Hsch. σ 1393 σπαίρει· ἅλλεται, σκιρτᾷ, πηδᾷ (Nic. Al. 318). σκαρίζει. ψυχορραγεῖ. σ 1394 σπαιρόντων· τὴν ψυχὴν ἐκπνεόντων. Syn. σ 167 σπαίρει· ἅλλεται, σκαρίζει, ἐκπνεῖ τὴν ψυχήν (Su. σ 914; Phot. σ 434). **8–12** Hsch. ο 1958 *ὀφθαλμιᾶσαι· φθονῆσαι. ἐπιβαλεῖν ὀφθαλμόν. Cyr. ο 325 Hag. ὀφθαλμιάσαι· τοὺς ὀφθαλμοὺς ἀλγῆσαι. Syn. ε 798 ἐποφθαλμίσας· φθονήσας· ἢ ἐπιθυμητικῶς ἐπιβαλών (Su. ε 2821; Phot. ε 1842; [Zon.] s.v.). ο 283 ὀφθαλμιᾶσαι· φθονῆσαι, ἐπιβαλεῖν ἐπιθυμητικῶς. ἢ καὶ τοὺς ὀφθαλμοὺς πάσχειν (Su. ο 1009; Phot. ο 708). Cf. schol. III 44 (p. 71, 19) ad ἐποφθαλμιάσωσιν. **13** Hsch. ε 4071 ‹ἐπαγωγά·› ἐπαγόμενα. τὰ ἐπαχθέντα. *ἐφολκὰ ἢ ἀπατητικά (4Macc. 8, 15). Syn. ε 554 ἐπαγωγά· ἀπατηλά, πιθανά, ἐφολκά (Su. ε 1919; Phot. ε 1311). Cf. schol. IV 27 (p. 83, 15) ad ἐφολκόν.

2–3 margine decurtato initium scholii partim interiit, supplevi ex. gr. cl. schol. Eur. Or. 537 **3** ὅτι δ̣ὲ̣ κ̣α̣ὶ̣ οὗτος disp. Guida **6** ἀλλομέ̣[νην, σκα]ρ̣ίζοντα supplevi **8–10** supplevi **9** ἢ^2 ante ἐπιβαλ[εῖν]^2 transposui ἐπιβαλ[εῖν] ἢ L

I 12 (p. 7, 20) ‹γαμετῇ·› γαμέτης ὁ ἀνή[ρ], γαμετὴ ἡ γυνή. L^1

plan **I 12 (p. 7, 21)** ‹συνδυασθείς·› συνελθών. *hmnsy*

plan **I 12 (p. 7, 21)** ‹κληρώσῃ·› ὡς κλῆρον λάβῃ. *y*

plan **I 12 (p. 7, 21)** ‹τὸ λέχος·› τὴν κοίτην. *hmnsy*

plan **I 12 (p. 7, 21)** ‹ἄλλης·› γαμετῆς. *y*

plan **I 12 (p. 7, 21)** ‹οὐχ ἅπτεται·› οὐ ψαύει. *y*

plan **I 12 (p. 7, 21–22)** ‹οὐ δεῖται·› οὐ χρείαν ἔχει. *hmnsy*

plan **I 12 (p. 7, 22)** ‹συμβολαίων·› a. συμβάλλουσι κυρίως ἄνθρωποι ἐπὶ μάχην, ἢ συμβάλλουσι μάχην, ἤγουν συγκροτοῦσι. συμμίσγουσι δὲ ὕδατα καὶ ποταμοὶ καὶ ὑγρά· ἀφ᾽ οὗ λέγουσι τὸ καταδεχόμενον χωρίον ποταμοὺς μισγάγγειαν, ἀπὸ τοῦ συμβάλλειν τὸ συνέρχεσθαι καὶ συγκροτεῖν· καὶ συμβάλλειν τὸ νοεῖν κατὰ μεταφοράν, καὶ συμβολὴ ἡ συνέλευσις οὐκέτι μεταφορικῶς, καὶ συμβόλαια τὰ ἐπὶ συμφωνίᾳ γάμου γινόμενα γράμματα. *hmnsy*

plan b. γραμμάτων ἐπὶ συμφωνίᾳ γινομένων. *y*

plan **I 12 (p. 7, 22)** ‹πίστιν·› βεβαίωσιν. *y*

1–2 Poll. On. III 44 καὶ γαμέτης μὲν ὁ γήμας καὶ ἀνὴρ καὶ νυμφίος καὶ ὁ συνοικῶν καὶ ὁ πρὸς γάμον ἠγμένος, ἡ δὲ νύμφη γαμετὴ καὶ γυνὴ καὶ συνοικοῦσα καὶ γεγαμημένη. Eust. in Il. v. 1 p. 166, 24 γαμετὴ ἡ γυνὴ καὶ γαμέτης ὁ ἀνήρ. Schol. Anth. Pal. X 55, 2 p. 33 Luppino τῆς γαμετῆς· ἤγουν τῆς γυναικός. XI 50, 4 p. 33 Luppino τὴν γαμετήν· ἤγουν τὴν γυναῖκα. **3** Schol. Opp. Hal. I 498 ζευξάμενοι· σχόντες ἑαυτοῖς, συμμιγέντες, συζευχθέντες, συνελθόντες εἰς συνουσίαν, ἑνωθέντες, συνδυασθέντες. **5** Hsch. λ 773 *λέχος· κοίτη. κλίνη. γάμος, μῖξις, συνουσία. γυνή. Cyr. λεχ 2 Dr. λέχος· λοχεία. συνουσία. κοίτη. μῖξις, κράββατος. 7 Dr. λέχος· συνουσία. κοίτη. μῖξις (Syn. λ 73; Su. λ 439; Phot. λ 231). **9–16** [Moschop.] Voc. Att. s.v. συμβάλλουσι κυρίως ἄνθρωποι ἐπὶ μάχην ἢ συμβάλλουσι μάχην, ἤγουν συγκροτοῦσι. s.v. συμμίσγουσι δὲ ὕδατα καὶ ποταμοὶ καὶ ὑγρά· ἀφ᾽ οὗ λέγουσι τὸ καταδεχόμενον χωρίον ποταμοὺς μισγάγγειαν, ἀπὸ τὸ συμβάλλειν τὸ συνέρχεσθαι καὶ συγκροτεῖν· καὶ συμβάλλειν τὸ νοεῖν κατὰ μεταφοράν, καὶ συμβολὴ ἡ συνέλευσις οὐκ ἔτι μεταφορικῶς. καὶ συμβόλαια τὰ ἐπὶ συμφωνίᾳ γαμοῦ γινόμενα γράμματα. **17** Schol. Soph. Oed. tyr. 1445 πίστιν· βεβαίωσιν. ἤγουν ἀκούσας τί ποτε περὶ σοῦ ἐκεῖνος ἐθέσπισεν, ἐμμένοις ἂν τῷ θεσπίσματι.

1 ἀνή[ρ] supplevi **8** οὐ om. m h **9** συμβάλουσι h **10** ἢ ante συμβάλλουσι om. s **12** μϊσϊάγγειαν s **13** καὶ συγκροτεῖν h m n s καὶ ἑνοῦσθαι y **15** γάμου om. y

I 12 (p. 7, 23) ‹κακώσεως δίκην·› κακώσεως δίκη ἐστὶ ταῖς τε ἐπικλήροις κατὰ τῶν γεγαμηκότων, καὶ κατὰ τῶν παίδων τοῖς γονεῦσι, καὶ κατὰ τῶν ἐπιτρόπων τοῖς ὑπὲρ τῶν ὀρφανῶν. ἐπίκληρος δέ ἐστιν ἡ ἐπὶ παντὶ τῷ κλήρῳ ὀρφανὴ καταλελειμμένη μὴ ὄντος αὐτῇ ἀδελφοῦ. ἡ δ' αὐτὴ λέγεται καὶ ἐπικληρῖτις. *hmnsy* plan

I 12 (p. 7, 24) ‹ἀκόλαστοι·› a. ἀπαίδευτοι. *sy* plan

b. κολάζω τὸ τιμωροῦμαι καὶ τὸ παιδεύω, ἀφ' οὗ κεκολασμένον ἦθος τὸ πεπαιδευμένον, καὶ ἀκόλαστον τὸ ἀπαίδευτον. *hmnsy* plan

I 13 (p. 7, 27) ‹σηραγγώδεις·› σημαίνει κοιλώδεις ἢ αἱ

1–6 Harp. s.v. κακώσεως (p. 167, 5–13 Dindorf = κ 12 Keaney)· δίκης ὄνομά ἐστι ταῖς τε ἐπικλήροις κατὰ τῶν γεγαμηκότων, καὶ κατὰ τῶν παίδων τοῖς γονεῦσι, καὶ κατὰ τῶν ἐπιτρόπων τοῖς ὑπὲρ τῶν ὀρφανῶν ἐπεξιοῦσι διδομένη· Δημοσθένης κατὰ Τιμοκράτους (24, 103) καὶ Λυσίας ἔν τε τῷ περὶ τοῦ Ἡγησάνδρου κλήρου (fr. 127 Carey) καὶ ἐν τῷ ὑπὲρ *** καὶ Ὑπερείδης περὶ τοῦ Πυρράνδρου κλήρου (fr. 160 J., 187 S.). ὅτι δὲ ἐξῆν καὶ παντὶ τῷ βουλομένῳ γράφεσθαι κακώσεως γονέων καὶ ταῖς ἐπικλήροις βοηθεῖν δηλοῦται ἔν τε τῷ προειρημένῳ λόγῳ Ὑπερείδου καὶ ἐν τῷ Λυσίου κατὰ Φιλωνίδου βιαίων (fr. 299 Carey), εἰ γνήσιος. ἦν δὲ καὶ ἄνευ ὕδατος (Su. κ 178; Phot. κ 100 et 101). [Moschop.] Voc. Att. s.v. κακώσεως δίκη ἐστὶ ταῖς τε ἐπικλήροις κατὰ τῶν γεγαμηκότων, καὶ κατὰ τῶν παίδων τοῖς γονεῦσι, καὶ κατὰ τῶν ἐπιτρόπων ἡ ὑπὲρ τῶν ὀρφανῶν. ἐπίκληρος δέ ἐστιν ἡ ἐπὶ παντὶ τῷ κλήρῳ ὀρφανὴ καταλελειμένη μὴ ὄντος αὐτῇ ἀδελφοῦ. ἡ δὲ αὐτὴ λέγεται καὶ ἐπικληρῖτις. **7–10** Philox. fr. 288a Theod. ἀκόλαστος· κυρίως ὁ ἀπαίδευτος, διὰ τὸ μὴ ἀγωγῆς καὶ κολάσεως τετυχηκέναι τῆς ἐπιτηδείας. οὕτω Φιλόξενος ἐν τῷ Περὶ Ἑλληνισμοῦ. fr. 288b Theod. ἀκόλαστος· ἀκόλαστος· κυρίως ὁ ἀπαίδευτος· παρὰ τὸ μὴ κολάσεως τετυχηκέναι, τουτέστι παιδείας. [Moschop.] Voc. Att. s.v. κολάζω τὸ τιμωροῦμαι καὶ τὸ παιδεύω, ἀφ' οὗ κεκολασμένον ἦθος τὸ πεπαιδευμένον, καὶ ἀκόλαστον ἦθος τὸ ἀπαίδευτον. **11–34,2** Hsch. σ 519 σήραγγες· κοιλώδεις τόποι, ἢ κισηρώδεις. ἢ πόροι γῆς †λεποφόροι†. ἢ πέτραι. 523 σήραγξ· σπήλαιον, κοιλότης, ὕφαλος πέτρα ῥήγματα ἔχουσα. Cyr. σ 67 Hag. σήραγγες· κοιλώδεις τόποι. 523 Hag. σήραγξ· χάσμα· κοιλάς· ὕφαλος πέτρα ῥήγματα ἔχουσα. Syn. σ 68 σήραγξ· κοιλάς. καὶ ὕφαλος πέτρα, ῥήγματα ἔχουσα (Su. σ 335; Phot. σ 185).

1–2 δίκης καὶ τιμωρίας ὄνομα ante ταῖς τε ἐπικλήροις add. y **2** κατὰ τῶν γεγενηκότων s **3** τοῖς ὑπὲρ τῶν ὀρφανῶν h m n y τὸ ὑπὲρ τῶν ὀρφανῶν s **4** δέ ἐστιν h m n s δ' ἔστιν y **9–10** καὶ ἀκόλαστος ὁ ἀπαίδευτος y **9** καὶ om. h

φαραγγώδεις. σήραγξ γὰρ χάσμ̣[α, κοι]λάς· ὕφαλος πέ[τρα] ῥήγματα ἔχο[υσα]. *L*

I 13 (p. 8, 4) ‹λαμυρώτερον·› a. λαμυρὸν σημαίνει [εὔ]λαλον, εὐτρά[πε]λον, καταπλη[κτι]κά. *L*

b. γλυκύτερον. L^1

I 13 (p. 8, 7) ‹πειρώμεναι·› αἰσθανόμεναι. L^1

I 13 (p. 8, 8) ‹οἷα δήπου γαμέτης·› τῇ κράσει κ[αὶ] τῇ συνθήκῃ. L^1

plan **I 15 (p. 9, 8)** ‹οἷος·› a. ἀντὶ τοῦ ὁποῖος κατ᾽ ἐρώτησιν. *hmnsyz*

plan b. ὁποῖος. *y*

plan **I 15 (p. 9, 9)** ‹τῆς συννόμου·› τῆς γαμετῆς. *y*

plan **I 15 (p. 9, 9)** ‹παραφυλάττεται·› διατηρεῖ. *y*

plan **I 15 (p. 9, 9)** ‹ἰσχυρῶς·› δυνατῶς, καθὰ ἰσχύει. *y*

plan **I 15 (p. 9, 9)** ‹ἀνεπιβούλευτα·› χωρὶς ἐπιβουλῆς. *y*

plan **I 15 (p. 9, 10)** ‹ἀσινῆ·› ἀβλαβῆ. *y*

plan **I 15 (p. 9, 10)** ‹φαιδρά·› χαροπά. *y*

plan **I 15 (p. 9, 10)** ‹δέους·› φόβου. *y*

plan **I 15 (p. 9, 10)** ‹διανήχεται·› κολυμβᾷ εἰς τὸ ὕδωρ. *y*

plan **I 15 (p. 9, 11)** ‹φρουράν·› φυλακήν. *y*

plan **I 15 (p. 9, 11)** ‹ἀπολιμπάνει·› ἀφίησι. *y*

plan **I 15 (p. 9, 11)** ‹πῇ μέν·› ποτὲ μέν. *y*

plan **I 15 (p. 9, 11)** ‹οὐραγεῖ·› τὸ τῆς οὐρᾶς μέρος ἄγει καὶ ὁδηγεῖ. οὐραγῶ τὸ ἔσχατον καὶ ὕστερον τῆς στρατιᾶς μέρος ἄγω. *y*

3–4 Hsch. λ 270 *λαμυρόν· εὔλαλον. εὐτράπελον. καταπληκτικόν (Cyr. λαμ 6 Dr. = λ 24 Hag.). Syn. λ 23 λαμυρόν· εὔλαλον, εὐτράπελον, καταπληκτικόν, τερπνόν (Su. λ 106; Phot. λ 83). **9–11** Hsch. ο 374 *οἷος· ὁποῖος. ἢ μόνος. Syn. ο 64 οιος· μόνος. ἢ ὁποῖος (Su. οι 151; Phot. ο 142). **14** Hsch. δ 2491 *δυνατῶς· ἰσχυρῶς. γενναίως. ἀσφαλῶς. **16** Hsch. α 7669 Ἀσίνη· *ἀβλαβῆ (3Macc. 6, 7) ἢ πόλις (Hom. Il. II 560). **18** Hsch. δ 657 δέος· φόβος. (Hebr. XII 28) ἢ θεός. Cyr. δ 33 Hag. δέος· φόβος. Cf. scholl. I 16 (p. 9, 18) ad τοῦ δέους, IV 61 (p. 99, 23) ad δέει, VIII 9 (p. 197, 20) ad δέα. **23–24** Hsch. ο 1824 οὐραγία· στρατηγίας οὐρά, τουτέστι τὸ τέλος τῆς στρατιᾶς καὶ τῆς τάξεως. 1826 οὐραγός· τῆς οὐρᾶς ὁ ἔσχατος ἡγεμών. καὶ τοῦ εὐωνύμου κέρατος φύλαξ· ὁ δὲ τοῦ δεξιοῦ δεξιοφύλαξ. Syn. ο 273 οὐραγεῖ· τὸ τέλος ἄγει τοῦ στρατοῦ (Su. ο 930; Phot. ο 670).

1–2 supplevi **3–4** supplevi **7** κ[αὶ] supplevi **9–10** lemma πατὴρ δὲ ἐν ἰχθύσιν ὁ Γλαῦκος οἷος ἐστίν add. z **9** τὸ οἷος ἀντὶ τοῦ y

I 15 (p. 9, 12) ‹παρανήχεται·› πλησίον τῆς πλευρᾶς νήχεται. *y* plan

I 15 (p. 9, 12) ‹δείσῃ·› φοβηθῇ. *y* plan

I 15 (p. 9, 13) ‹χανών·› ἀνοίξας τὸ ἑαυτοῦ στόμα. *y* plan

I 15 (p. 9, 13) ‹εἰσεδέξατο·› ἐντὸς ἐδέξατο. *y* plan

I 15 (p. 9, 13) ‹συνεῖδε·› ἐνόησε. *y* plan

I 15 (p. 9, 14) ‹παραδραμόντος·› παρελθόντος. *y* plan

I 15 (p. 9, 14) ‹ἀνεμεῖ·› ἄνω ἐμεῖ καὶ ἐκβάλλει. *y* plan

I 16 (p. 9, 16) ‹κύων·› ἰστέον ὅτι πολλὰ τῶν ὀνομάτων τὰ αὐτὰ κατὰ τοῦ ἀρσενικοῦ λέγεται καὶ τοῦ θηλυκοῦ, οὐ μὴν μετὰ τοῦ αὐτοῦ ἄρθρου, καὶ λέγεται ταῦτα κοινὰ τῷ γένει· ἕτερα δὲ τὰ αὐτὰ καὶ μετὰ τοῦ αὐτοῦ ἄρθρου ἐπὶ τοῦ ἀρσενικοῦ λέγονται καὶ τοῦ θηλυκοῦ, καὶ λέγεται ταῦτα ἐπίκοινα, οἷον ὁ κόραξ, ὁ ἀετός. κοινὰ δὲ τῷ γένει ὁ κύων, καὶ θηλυκῶς γὰρ ἡ κύων· καὶ ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος γάρ. πολλὰ δὴ τῶν τοιούτων οἱ Ἀττικοὶ θηλυκῶς χαίρουσιν ἐκφέρειν μάλιστα, οἷον τὴν ἵππον, τὴν κύνα. πολλὰ δὲ αὖθις θηλυκῶς μὴ λεγόμενα, θηλυκῶς ἐκφέρεται· τὰ μὲν ἀττικῶς, τὰ δὲ ἰωνικῶς. καὶ ἀττικῶς μὲν ἡ δρῦς καὶ ἕτερα, ἰωνικῶς δὲ ἡ κύων, ἡ λίθος, ἐπὶ τοῦ ἁπλῶς λίθου, ἀλλὰ μὴ ἐπὶ τῶν mosch

3 Cf. schol. I 16 (p. 9, 17) ad δείσῃ. **7** Cf. schol. I 16 (p. 9, 18) ad παραδραμόντος. **9–36,5** [Theodos.] Gramm. p. 113, 19–22 κοινὰ δὲ τῷ γένει ἐκεῖνα λέγομεν, ὅσα ἀρσενικῶς καὶ θηλυκῶς δύνανται λέγεσθαι, οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος, ὁ ἵππος καὶ ἡ ἵππος, ὁ κύων καὶ ἡ κύων. Choer. in Theodos. I p. 107, 17–19 καὶ κοινὸν μέν ἐστι τὸ ἀρσενικῶς καὶ θηλυκῶς λεγόμενον μετὰ διαφόρου ἄρθρου, οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος, ὁ ἵππος καὶ ἡ ἵππος, ὁ κύων καὶ ἡ κύων. Gennad. Schol Gramm. p. 357 ἔστι μέντοι γε καὶ παρὰ ταῦτα γένος τέταρτον, τὸ κοινὸν λεγόμενον, ὃ πτώσεις μὲν ἔχει τὰς αὐτάς, ὑποτάσσεται δὲ ἰδίοις ἄρθροις, οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος, ὁ κύων καὶ ἡ κύων. Schol. Anth. Pal. VI 221, 4, p. 45 Luppino ἰστέον δὲ ὅτι οἱ ποιηταὶ καὶ τὸν αἶγα λέγουσι καὶ τὴν αἶγα, ὥσπερ καὶ τὸν ἔλαφον καὶ τὴν ἔλαφον. ἡμεῖς δὲ ἀντὶ τοῦ τὸν αἶγα τὸν τράγον λέγομεν, καὶ ἔχομεν δύο ὀνόματα, τὸν τράγον καὶ τὴν αἶγα. IX 67, 1 p. 50 Luppino μικρὰν λίθον· ἰωνικῶς λέγεται ἐνταῦθα ἐπὶ θηλυκοῦ ἡ λίθος. πολλὰ γὰρ τῶν ὀνομάτων, ἀρρενικὰ ὄντα, χαίρουσιν οἱ Ἴωνες θηλυκῶς ἐκφέρειν, οἷον τὴν λίθον, τὴν κίονα, τὴν Μαραθῶνα. εἰσὶ δὲ πάλιν ἕτερα ἀρρενικά, ἃ οἱ Ἀττικοὶ θηλυκῶς προφέρουσιν, οἷον ὁ δρῦς ἡ δρῦς.

11–12 ἃ ante τὰ αὐτὰ add. f g n q : seclusi **12** καὶ post τὰ αὐτὰ om. g **13** ἐπίκειναg **15** γάρ post ἄνθρωπος om. n | πολλὰ δὴ g n q πολλὰ δὲ f **17** θηλικῶς f **18** ἑτέρα g **19** ἡ κύων om. f

τιμίων λίθων ἢ λαξευομένων, ἐπὶ τούτων γὰρ καὶ παρ᾽ ἡμῖν ἡ λίθος λέγεται θηλυκῶς, ἡ Μαραθών. ἕτερα δὲ πάλιν εἰσὶ θηλυκὰ καὶ οὐδέτερα, ἃ οὐκ ἔχουσιν ἀρσενικά, εἶτα παρὰ τοῖς Ἀττικοῖς ἀρσενικῶς λέγονται· ὡς τὴν πέτραν πέτρον λέγουσι, καὶ τὸ σκότος ὁ σκότος ἀρσενικῶς. *fgnq*

plan **I 16 (p. 9, 16)** ‹τεκοῦσα·› a. γεννήσασα. *y*

mosch b. τίκτουσι τὰ θήλεα, γεννῶσι δὲ τὰ ἄρρενα. *fgnq*

plan **I 16 (p. 9, 16)** ‹συννέοντα·› συμπορευόμενα, συννηχόμενα. *hlmnsy*

mosch **I 16 (p. 9, 16)** ‹σκυλάκια·› ἰστέον δὲ ὅτι τὰ μὲν ἔκγονα τῆς κυνὸς σκύλακες λέγονται καὶ σκυλάκια, ὡς τὰ τῶν λεόντων σκυμνία, καὶ τὰ τῶν ἄρκτων ἀρκτύλοι, καὶ τὰ τῶν ἀλωπέκων ἀλωπεκίδες, καὶ τὰ τῶν λαγωῶν λαγίδια, καὶ τὰ τῶν ἐλάφων νεβροί. τὸ δὲ δέρμα αὐτῆς κυνῆ ὡς λεοντῆ τὸ τοῦ λέοντος, καὶ ἀλωπεκῆ τὸ τῆς ἀλώπεκος, καὶ τὸ τῆς παρδάλεως παρδαλῆ, καὶ τὸ τῆς ἐλάφου νεβρίς, καὶ κώδιον τὸ τοῦ προβάτου. τὰ δὲ τῶν πτηνῶν ἔκγονα, ἃ καὶ πετεινὰ λέγεται, ποιητικῶς δὲ πετεεινά, νεογνὰ λέγονται καὶ νεοττοί, καὶ νεόττια ἀττικῶς ἃ κοινῶς λέγεται νοσσία, ὥσπερ καὶ νεοττιὰ ἡ φωλεὰ αὐτῶν ἀττικῶς· κοινῶς δὲ νοσσιὰ καὶ στρουθία, ἃ κυρίως τὰ τοῦ τρωγλίτου λέγεται. στρουθὸς γὰρ κυρίως ὁ τρωγλίτης, καταχρηστικῶς δὲ καὶ πᾶν πτηνόν· τὰ νεογνὰ δὲ καὶ ἐφ᾽ ἑτέρων λέγεται. *fgnq*

plan **I 16 (p. 9, 17)** ‹ἤδη·› τὸ ἤδη ἐνταῦθα ἀντὶ τοῦ εὐθύς. *hmy*

7 Lex. Herm. p. 327, § 60 γεννᾷ ὁ ἀνὴρ κυρίως, τίκτει δὲ ἡ γυνή (= An. Par. IV, p. 251, 31 e Paris. gr. 2720). **19–21** Planud. Epim. p. 74 Lindstam στρουθία μὲν λέγονται πάντα τὰ μικρὰ τῶν ὀρνίθων, στρουθὸς δὲ κυρίως ὁ λεγόμενος τρωγλίτης. [Moschop.] Voc. Att. s.v. στρουθία μὲν λέγονται πάντα τὰ μικρότατα τῶν ὀρνίθων, στρουθὸς δὲ κυρίως ὁ λεγόμενος τρωγλίτης.

8 συμπορευόμενα om. l **8–9** συννηχόμενα om. n s **11** λέγεται q **12** τὰ ante τῶν ἀλωπέκων om. n **12–13** ἀλωπεκύδες f **13** νευροί f g q **16** νευρίς f g q **17** λέγονται n | πετεεινά f n q πετεινά g **17–18** καὶ ante νεοττοί om. n **18** λέγονται n q **20** τοῦ τρωγλί τρωγλίτου q | λέγονται f **23** τὸ ἤδη ἐνταῦθα ἀντὶ τοῦ om. y

I 16 (p. 9, 17) ‹εἰς ἀναβολάς·› a. εἰς ὑπερθέσεις ὃ κοινῶς λέγεται εἰς ἀναμονήν. *hmnsy* plan

b. εἰς ἀναμονὴν καὶ ὑπερθέσεις. *ns* plan

c. ἀναβάλλομαι τὸ ἀνακρούομαι ποιητικόν, ἀναβάλλομαι τὸ ἐνδύομαι τῶν Ἀλεξανδρέων, ἀναβάλλομαι τὸ ὑπερτίθεμαι ἑλληνικόν, ὅθεν ἀναβολὴ ἡ ὑπέρθεσις. *fgnq* mosch

I 16 (p. 9, 17) ‹δείσῃ·› a. φοβηθῇ. *hmqy* plan

b. δείδω τὸ φοβοῦμαι, δεδίττομαι ἕτερον ἀντὶ τοῦ ἐκφοβῶ. *fgnq* mosch

I 16 (p. 9, 17) ‹τούτων·› ἀπό. *hmy* plan

I 16 (p. 9, 17) ‹μητέρα·› ἰστέον ὅτι ὅπερ ἀπὸ τῆς μητρὸς ἡ μητρυιὰ τοῦτο ἀπὸ τοῦ πατρὸς ὁ πάτρων. *fgnq* mosch

I 16 (p. 9, 18) ‹εἰσέδυ·› a. εἰσῆλθεν. *hmnqsy* plan

b. δύω ποιητικῶς τὸ ἐνδύω τὸ φορῶ, κοινῶς δὲ τὸ εἰσέρχομαι, ὃ καὶ μετὰ τῆς ΕΙΣ προθέσεως λέγεται, οἷον εἰσέδυ· μετὰ δὲ τῆς ΕΝ προθέσεως ἐνδύω τὸ φορῶ. *fgnq* mosch

I 16 (p. 9, 18) ‹αὖθις·› δεύτερον. *y* plan

1–2 Hsch. υ 403 ὑπερθέσεις· ἀναβολαί. ὑπερβάσεις. Cyr. υ 67 Hag. ὑπέρθεσις· ἀναβολή. Phot. υ 105 ὑπερβολήν· τὴν ἀναβολὴν καὶ ὑπέρθεσιν· καὶ ἐν τῷ περὶ τοῦ στεφάνου Δημοσθένης (18, 190). [Zon.] s.v. ὑπέρθεσις· ἀναβολή. **4–6** Lex. Herm. p. 344, § 164 ἀναβάλλομαι σημαίνει τρία. τὸ ἀνακρούομαι καὶ προοιμιάζομαι. ὡς τό, οἱ τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον (Aphthon. X 2)· καὶ τὸ ἐνδύομαι, ὡς παρὰ τῇ Θείᾳ Γραφῇ (Psalm. CIII 2), ὁ ἀναβαλλόμενος φῶς, ὡς ἱμάτιον. καὶ τὸ εἰς ἀναβολὰς τίθημι τὸ πρᾶγμα, ὡς τό, ἀναβάλλομαι τὴν ὑπόσχεσιν (= An. Par. IV, p. 259, 18 et 262, 4 e Paris. gr. 2720). Planud. Epim. p. 73 Lindstam ἀναβάλλομαι καὶ τὸ ὑπερτίθεμαι καὶ τὸ ἐνδύομαι, ἐξ οὗ καὶ ἀναβολὴ ἡ περιβολή. [Moschop.] Voc. Att. s.v. ἀναβάλλομαι τὸ ὑπερτίθεμαι καὶ τὸ ἐνδύομαι, ἐξ οὗ καὶ ἀναβολὴ ἡ περιβολή. Schol. Theocr. VI 20–24c ἀναβάλλω γʹ σημαίνει· ἀναβάλλω τὸ ἐνδύομαι, ἀναβάλλω τὸ ῥαθυμῶ καὶ ἀποστρέφομαι, καὶ τὸ ἀνακρούω ὡς ἐνταῦθα. **7–9** Hsch. δ 439 δείδω· φοβοῦμαι (Hom. Il. X 39). Moschop. Sched. p. 104 δείδω τὸ φοβοῦμαι. Cf. schol. I 15 (p. 9, 12) ad δείσῃ. **14–16** [Moschop.] Voc. Att. s.v. δύω ποιητικῶς τὸ εἰσέρχομαι, ὅπερ μετὰ τῆς ΕΙΣ προθέσεως εἰσδύω· μετὰ δὲ τῆς ΕΝ ἐνδύω τὸ φορῶ.

2 λέγεται post εἰς ἀναμονήν transp. y **8** δεδίττομαι δὲ n q **12** μητρυὰ g ὁ om. n **14** δύο f g

plan **I 16 (p. 9, 18)** ‹κατὰ τὸ ἄρθρον·› a. κατὰ τὸ σχίσμα τοῦ αἰδοίου. *hlmnsy*

mosch b. ὅπερ ἐπὶ γυναικὸς αἰδοῖον λέγεται τοῦτο· ἄρθρον ἐπὶ τῶν ἑτέρων ζῴων καὶ ἐπὶ γυναικός. *fgnq*

plan **I 16 (p. 9, 18)** ‹τοῦ δέους·› τοῦ φόβου. *hmy*

plan **I 16 (p. 9, 18)** ‹παραδραμόντος·› a. παρελθόντος. *hmnsy*

mosch b. παρέδραμεν ὁ δεῖνα τὸν δεῖνα τρέχων καὶ παρέδραμεν ἀντὶ τοῦ ἐνίκησε καὶ ἀντὶ τοῦ παρῆλθεν. *fgnq*

plan **I 16 (p. 9, 19)** ‹πρόεισιν·› ἐξέρχεται. *hmnsy*

plan **I 16 (p. 9, 19)** ‹ἀνατικτόμενον·› a. ἐκ δευτέρου τικτόμενον. *hmnsy*

mosch b. ἀνατικτόμενον τὸ ἐκ δευτέρου τικτόμενον. ἡ ΑΝΑ γὰρ ἢ δευτέραν σχέσιν δηλοῖ ἢ τὴν εἰς τοὐπίσω κάμψιν, ὡς ἀνέστρεψεν, ἀνεπόδισεν ἢ τὸ ἄνω, οἷον ἀναβλέπω, ἀνατρέχω. *fgnq*

I 17 (p. 10, 12) ‹ἐπισείουσα·› γράφεται παίουσα. *K*

I 18 (p. 10, 20) οἱ δὲ ὀδόντες μεμυκότες· ἀντὶ τοῦ ἐγκεχωσμένοι τῇ σαρκὶ καὶ οὐχὶ προφαινόμενοι· οὕτως ὁ̣ ν̣ο̣ῦ̣ς̣, καὶ ζήτει. *L*[1]

I 18 (p. 11, 1) καὶ σπαρτώδει μιμήματι· περικυκλοῖ τὸν πλέοντα κατὰ μίμησιν τοῦ τέκτονος, ὃς πρῶτον περικυκλοῖ καὶ σχηματίζει ἃ οἰκοδομήσει σχοινίῳ, ὅπερ σπάρτος ὀνομάζεται καὶ σπαρτίον. *L*[1]

I 19 (p. 11, 5) ‹εὐστομεῖ·› ἐμμελῶς λέγει. *L*[1]

I 19 (p. 11, 8) ‹τῆς ἀκμῆς·› κατὰ μεσημβρίαν. *L*[1]

1–4 Cf. Hsch. α 7187 ἀρθμόν [ἄρθρον con. Cannatà]· πρότμησις, ἢ μετάφρενον. ἢ αἰδοῖον ἀνδρὸς καὶ γυναικός. **5** Cf. scholl. I 15 (p. 9, 10) ad δέους, IV 61 (p. 99, 23) ad δέει, VIII 9 (p. 197, 20) ad δέα. **6** Hsch. π 806 παρελεύσεαι· παραδραμεῖς· καὶ παραλογίσῃς (Hom. Il. I 132). 807 παρελεύσεται· παραδράμῃ, παρέλθῃ. **6–8** Lex. Herm. p. 332, § 94 παρῆλθεν ἀντὶ τοῦ παρέδραμε καὶ ἐξῆλθε (= An. Par. IV, p. 252, 30 e Paris. gr. 2720). Georg. Lacap. Epim. pp. 197, 27–198, 2 παρέρχομαι· τὸ νικῶ καὶ ὑπεραίρω καὶ κάτω που τῶν ἐμαυτοῦ καλῶν πάντας ἐῶ. καὶ παρῆλθον καὶ παρήνεγκα καὶ παρέδραμον καὶ παρήλασα καὶ παρήλλαξα ταὐτά, λαμβανόμενα ἐπὶ τῆς τοῦ ἐνίκησα σημασίας. Cf. schol. I 15 (p. 9, 14) ad παραδραμόντος. **19–22** Hsch. θ 1000 θώμιγγες· δεσμοί, ὁρμιαί, σχοινία, χορδαί, *σπαρτία κανάβινα. Su. σ 907 σπάρτα· σχοινία. [Zon.] s.v. σπαρτίον· τὸ σχοινίον. καὶ κλῆρος. καὶ στέργει σπάρτα, ἥνπερ ἔλαχε.

1 κατὰ om. h l m κατὰ [(τὸ) σχίσμα] n | τὸ ante σχίσμα om. s

I 21 (p. 11, 24) ‹Βαβυλωνίους·› ἰστέον ὅτι τὰ ὀνόματα, τὰ δηλοῦντα ἐν οἷς ἐγένετό τι καὶ ὅθεν ὁρμᾶται ἐκεῖθεν παρονομαζόμενα, ἢ διὰ τοῦ ΙΟΣ ἐκφέρονται, οἷον οὐράνιος θαλάττιος Βαβυλώνιος, ἢ διὰ τοῦ ΝΟΣ, οἷον γήϊνος, ὃ ποιητικῶς λέγεται γαιήιος, οὗτινος εἰς τύπον μετεσχηματίσθησαν αἱ παρ᾽ Εὐριπίδῃ (cf. Hec. 99) δεσπόσυνοι σκηναὶ τὰς δεσποτικὰς δηλοῦσαι, ἢ διὰ τοῦ ΑΙΟΣ, οἷον Ἀθηναῖος, Κερκυραῖος, ὧν εἰς τύπον λέγεται Ἑβραῖος Χαλδαῖος, διὸ καὶ διὰ διφθόγγου γράφονται. *fghq* mosch

I 21 (p. 11, 24) ‹τὰ οὐράνια·› κατά. *hlnsy* plan

I 21 (p. 11, 25) ‹ᾄδουσιν·› a. ἔπαινον ἔχει τὸ ᾄδειν. ἐμφαίνει γὰρ τὴν εὔρυθμον φράσιν τῶν συγγραφέων. *hnsy* plan

b. ἐπαινοῦσιν εὐρύθμως. *y* plan

c. ᾄδειν τὸ ψάλλειν καὶ τὸ ὑμνεῖν καὶ τὸ περιλαλεῖν, ὡς τὸ ᾄδεται λόγος· ποιητικῶς δὲ λέγεται ἀείδειν, καὶ δηλοῖ τὸ ἐμμέτρως καὶ ἐμμελῶς λέγειν. ἔχει δὲ τὸ ᾄδειν προσγεγραμμένον τὸ Ι, ἀπὸ γὰρ τοῦ ἀείδειν γέγονε τραπέντος τοῦ Α καὶ Ε εἰς Α, εἶτα τοῦ Ι προσγραφέντος. χρὴ δὲ γινώσκειν, ὅτι τὸ Ι ἢ τῷ Η προσγράφεται ἢ τῷ μεγάλῳ Ω ἢ μακρῷ Α. σπανίως δὲ καὶ βραχεῖ Α προσγράφεται ὡς ἐν τῷ γήρᾳ καὶ ᾄδης, ἀλλ᾽ ὡς συναιρούμενον οὐχ ὡς μὴ δυνάμενον ἐξακούεσθαι. *fghq* mosch

I 21 (p. 11, 25–26) ‹ἀναβλέποντες·› a. ὁρῶντες τῷ νῷ, οὐ γὰρ ἔχουσιν οὐρανόν. *hlns* plan

b. βλέπειν τὸ ἁπλῶς ὁρᾶν καὶ τὸ ἐλπίζειν, οἷον εἰς σὲ βλέπω, καὶ τὸ προορᾶν· ὅθεν καὶ βλέποντες οἱ προφῆται. *fghq* mosch

23–24 [Moschop.] Voc. Att. s.v. βλέπω τὸ ἁπλῶς ὁρῶ καὶ τὸ ἐλπίζω, οἷον εἰς σὲ βλέπω, καὶ τὸ προορᾶν· ὅθεν καὶ προβλέποντες λέγονται οἱ προφῆται. Thom. Mag. Ecl. p. 60, 7–11 βλέπειν τὸ ἁπλῶς ὁρᾶν· θεᾶσθαι δὲ καὶ τὸ ὁρᾶν τι τῶν ἐν τῷ θεάτρῳ γινομένων, οἷον πάλην, πυγμὴν καὶ τὰ τοιαῦτα. ἐξ οὗ καὶ θέατρον, ὁ ἀγών. ἔστι δὲ θεᾶσθαι καὶ τὸ κατανοεῖν. Εὐριπίδης ἐν Ὀρέστῃ (911)· «θεᾶσθαι δ᾽ ὧδε χρὴ τὸν προστάτην».

3 καταχρόνιος ante θαλάττιος add. h **3–4** Σαλαμίνιος ante Βαβυλώνιος add. h **4–5** γαίϊος f γαλήϊος g **5** μετεσχηματέσθησαν g | παρ᾽ Εὐριπίδι f παρ᾽ Εὐριπίδ( ) h q **11** εὔρϊθμον h **16** τραπέντος f g $h^{a.c.}$ q κραθέντος $h^{p.c.}$ | εἰς ΕΙ g **17** προσγράφοντος g προσγεγραφέντος h | ἢ τὸ Η g h **18–19** βραχὺ h **20** μὴ om. h **21–22** τῷ νῷ, οὐ γὰρ ἔχουσιν οὐρανόν om. s οὐ γὰρ ἔχουσιν οὐρανόν om. n **21** τῷ νοΐ h **24** καὶ ante βλέποντες om. f

plan **I 21 (p. 11, 26)** ‹τοῦ μηνός·› a. τῆς σελήνης. *hl*

mosch b. μήνη ἡ σελήνη, ἀπὸ τοῦ μὴ ἐν ἑνὶ σχήματι μένειν· καὶ ἀπὸ τούτου αἱ ἡμέραι, δι᾽ ὧν αὕτη τὰ δώδεκα διέρχεται ζῴδια. μὴν καὶ κλίνεται μηνός, ὡς χὴν χηνός. τὰ γὰρ εἰς ΗΝ ὀνόματα διὰ τοῦ ΟΣ κλίνονται, καὶ φυλάττουσι τὸ Η ἐπὶ τῆς γενικῆς, πλὴν τοῦ φρὴν φρενός, ἐπὶ τῶν μονοσυλλάβων, καὶ αὐχὴν αὐχένος ἐπὶ τῶν δισυλλάβων. *fghq*

plan **I 21 (p. 11, 26)** ‹ἐπὶ δακτύλων ἀριθμὸν ἔχοντες·› ἀριθμοῦντες δακτύλοις. *y*

plan **I 21 (p. 11, 26)** ‹ἀριθμεῖν·› a. ψηφίζειν. *hlns*

mosch b. ἀριθμεῖν ἐπὶ ψήφου, μετρεῖν ἐπὶ μεδίμνου, σταθμᾶν ἐπὶ ζυγοῦ. *fghq*

plan **I 21 (p. 11, 26)** ‹ἔχοντες·› a. δυνάμενοι. *hlns*

mosch b. ἔχειν τὸ κεκτῆσθαι, τὸ δύνασθαι καὶ τὸ διακεῖσθαι. *fghq*

plan **I 21 (p. 11, 27)** ‹εἰλήχασι·› ἔλαχον, ἐκληρώσαντο. *hlnsy*

plan **I 21 (p. 11, 27–28)** ‹τοῦ μηνός·› τῆς σελήνης. *hln*

plan **I 21 (p. 11, 28)** ‹τῇ νέᾳ·› τῇ πρώτῃ. *hlns*

plan **I 21 (p. 11, 28)** ‹εἴσω·› a. ἐντός. *hl*

mosch b. ἰστέον ὅτι ἀπὸ τῶν πλειόνων προθέσεων γίνονται ἐπιρ-

1–7 [Moschop.] Voc. Att. s.v. μήνη ἡ σελήνη, ἀπὸ τοῦ μὴ ἐν ἑνὶ σχήματι μένειν· καὶ ἀπὸ τούτου αἱ ἡμέραι, δι᾽ ὧν αὕτη τὰ δώδεκα διέρχεται ζῴδια. s.v. μὴν καὶ κλίνεται μηνός, ὡς χὴν χηνός. τὰ γὰρ εἰς ΗΝ ὀνόματα διὰ τοῦ ΟΣ κλίνονται, καὶ φυλάττουσι τὸ Η ἐπὶ τῆς γενικῆς, πλὴν τοῦ φρὴν φρενός, ἐπὶ τῶν μονοσυλλάβων, καὶ αὐχὴν αὐχένος ἐπὶ τῶν δισυλλάβων. Cf. schol. I 21 (p. 11, 27–28) ad τοῦ μηνός. **11–12** [Moschop.] Voc. Att. s.v. ἀριθμεῖν ἐπὶ ψήφου, μετρεῖν ἐπὶ μεδίμνου, σταθμᾶν ἐπὶ ζυγοῦ. **14** Cf. scholl. I 52 (p. 22, 18) ad ἔχει et X 28 (p. 246, 12) ad ἔχουσι. **15** Schol. Aeschyl. Sept. 376b εἴληχε· ἐκληρώσατο. **16** Cf. schol. I 21 (p. 11, 26) ad τοῦ μηνός. **19–42,18** Moschop. Constr. c. 223 ἰστέον ὅτι ἀπὸ τῶν πλειόνων προθέσεων γίνονται ἐπιρρήματα κατὰ σημασίαν αὐτῶν, καὶ εἰσὶ τὰ μὲν κοινά, τὰ δὲ ποιητικά, οἷον ἀπὸ τῆς ΕΝ ἔνδον καὶ ἐντὸς κοινῶς, καὶ ἀπὸ τούτων ἔνδοθεν κοινῶς καὶ ἔντοσθεν ποιητικῶς, ἃ καὶ κίνησιν ἔχουσιν ἀπὸ τῆς ἐντός. ἀπὸ τῆς εἰς Η καὶ Ε λέγεται ἔσω καὶ εἴσω κοινῶς καὶ ποιητικῶς, οἷον «Ἴλιον εἴσω» (Hom. Il I 71 et al.), ἀντὶ τοῦ εἰς τὴν Ἴλιον. ἀπὸ τούτων καὶ ἔξωθεν κοινῶς καὶ εἴσωθεν ποιητικῶς. καὶ ἀπὸ τούτων ἔσωθεν κοινῶς, καὶ εἴσωθεν ποιητικῶς. ἀπὸ τῆς ΕΞ ἢ καὶ ΕΚ λέγεται ἔξω, καὶ ἐκτὸς κοινῶς, ἀπὸ τούτων ἔξωθεν κοινῶς καὶ ἔκτοσθεν ποιητικῶς, οἷον «ἔκτοσθεν λιπαρῆς

4 ὁ μὴν g **5** διὰ τοῦ ΔΟΣ κλίνονται h **10** ψηφίφειν s **14** κεκτεῖσθαι g **15** ἐκληρώθησαν s ἐκληρώσαντο om. y **18** ἀντὶ τοῦ ante ἐντός add. l

ῥήματα κατὰ τὴν σημασίαν αὐτῶν, καὶ συντάσσονται ἅπαντα γενικῇ, καὶ εἰσὶ τὰ μὲν κοινά, τὰ δὲ ποιητικά, οἷον ἀπὸ τῆς ΕΝ ἔνδον καὶ ἐντὸς κοινῶς, καὶ ἀπὸ τούτων ἔνδοθεν κοινῶς καὶ ἔντοσθεν ποιητικῶς, ἃ κίνησιν ἔχουσιν ἀπὸ τῶν ἐντός. ἀπὸ τῆς ΕΙΣ ἢ καὶ ΕΣ λέγεται ἔσω καὶ εἴσω κοινῶς, καὶ ἀπὸ τούτων ἔσωθεν κοινῶς καὶ εἴσωθεν ποιητικῶς· ἀπὸ τῆς ΕΞ ἢ καὶ ΕΚ λέγεται ἔξω καὶ ἐκτὸς κοινῶς, καὶ ἀπὸ τούτων ἔξωθεν κοινῶς καὶ ἔκτοσθεν ποιητικῶς, ὃ καὶ ἔκτοθεν λέγεται, ἃ δηλοῦσι κίνησιν ἀπὸ τῶν ἐκτός. ἀπὸ τῆς ΠΡΟ πρόσω κοινῶς, ὃ καὶ πόρρω λέγεται μεταθέσει τοῦ Ρ, καὶ τροπῇ τοῦ Σ εἰς Ρ ὡς ἐν τῷ ἄρρεν, δηλοῖ δὲ τὸ μακρὰν καὶ τὸ ἐντὸς εἰς βάθος ὡς τὸ «τὸ δὲ καὶ προσανιᾶσαι πόρρω δεινῶν» (Syn. Epist. 46), καὶ ἀπὸ τούτων πρόσωθεν καὶ πόρρωθεν καὶ πρόσθεν κατὰ συγκοπήν, ὃ καὶ ἔμπροσθεν λέγεται μετὰ τῆς ΕΝ· τοῦτο δὲ καὶ εἰς ἑτέραν ἔννοιαν μετέπεσεν, οὐ γὰρ κίνησιν φαίνεται ἔχον. ἀπὸ τῆς ΑΝΑ ἄνω καὶ ἄνωθεν κοινῶς. ἀπὸ τῆς

παλαίστρης» (Theocr. Id. II 51) ἀντὶ τοῦ ἐκ τῆς παλαίστρας. ἀπὸ τῆς ΠΡΟ πρόσω κοινῶς, ὃ καὶ πόρρω λέγεται μεταθέσει τοῦ Ρ καὶ τροπῇ τοῦ Σ εἰς Ρ, δηλοῖ δὲ τὸ μακρὰν καὶ τὸ ἐντὸς καὶ τὸ εἰς βάθος, ὡς τὸ «τὸ δὲ καὶ προσανιᾶσαι, πόρρω δεινῶν» (Syn. Epist. 46) καὶ ἀπὸ τούτων πόρρωθεν καὶ πρόσωθεν καὶ πρόσθεν κατὰ συγκοπήν, ὃ καὶ ἔμπροσθεν λέγεται. τοῦτο δὲ καὶ εἰς ἑτέραν ἔννοιαν μετέπεσεν, οὐ γὰρ κίνησιν φαίνεται ἔχον. ἀπὸ τῆς ΑΝΑ ἄνω καὶ ἄνωθεν κοινῶς. ἀπὸ τῆς ΚΑΤΑ κάτω καὶ κάτωθεν κοινῶς. ἀπὸ τῆς ΑΝΤΙ ἄντα ποιητικῶς καὶ ἀντίον, ὃ μετὰ τῆς ΕΝ ἐναντίον λέγεται κοινῶς· ἀπὸ τούτου λέγεται καὶ τὸ πρόσαντες ὅπερ ἐπὶ δυσκολίας λέγεται ὡς ἐναντιουμένων τινῶν. ἀπὸ τῆς ΠΕΡΙ πέριξ κοινῶς. ἀπὸ τῆς ΑΜΦΙ ἀμφὶς ποιητικῶς, ταύτως τῷ πέριξ, οἷον οἶκον ἀμφὶς ἀντὶ τοῦ περὶ τὸν οἶκον. ἡ γὰρ ΠΕΡΙ ἡ αὐτή ἐστι τῇ ΑΜΦΙ. πλὴν ὅτι ἡ μὲν ΠΕΡΙ παρὰ τοῖς κοινοῖς ἐν χρήσει, ἡ δὲ ΑΜΦΙ παρὰ τοῖς ποιηταῖς. σπανιάκις δὲ αὕτη παρὰ τοῖς κοινῶς γράφουσιν. ἀπὸ τῆς ΑΠΟ ἄπο κοινῶς, ὡς τὸ «οὐδ᾿ ἄπο γνώμης ἐκείνῳ τῷ γενναίῳ» (Greg. Naz. Or. XLIII 2, 4) καὶ ἀπὸ τούτου ἄπωθεν καὶ ἀπωτάτω διὰ τοῦ Ω μεγάλου, ὡς τύπον ἔχον, τῶν διὰ τοῦ ΩΤΕΡΟΣ καὶ ΩΤΑΤΟΣ. ἔχουσι δέ τινα αὐτῶν καὶ συγκριτικὰ καὶ ὑπερθετικά, οἷον ἐνδοτέρω καὶ ἐνδοτάτω, ἐξωτέρω καὶ ἐξωτάτω, προσωτέρω καὶ προσωτάτω.
4–9 Et. M. s.v. εἴσω· ὡς ἀπὸ τῆς ἐξ προθέσεως γίνεται ἔξω, καὶ ἀπὸ τῆς πρός, πρόσω· καὶ ἀπὸ τῆς ἐς Ἀττικῶς, ἔσω· οὕτως καὶ ἀπὸ τῆς εἰς προθέσεως γίνεται εἴσω. καὶ ἔστιν ἀντὶ τῆς εἰς· ὡς τὸ «καὶ νήεσσ᾿ ἡγήσατ᾿ Ἀχαιῶν Ἴλιον εἴσω» (Hom. Il. I 71). ἀντὶ τοῦ εἰς τὴν Ἴλιον.

4 ἀπὸ τῆς ΕΙΣ f g q   ἀπὸ τῶν εἰς ΗΣ h   **5** καὶ ΕΣ λέγεται f q   καὶ ΕΣ λήγεται g   καὶ ΕΣ λ( )γ( )τ( ) h   **7** καὶ ἀπὸ τούτων ἔξωθεν κοινῶς om. h **8** ἔκτοσθεν λέγεται q   **11** καὶ εἰς βάθος h q | ὡς ἐν τῷ q   ὡς τὸ cett.

ΚΑΤΑ κάτω καὶ κάτωθεν κοινῶς. ἀπὸ τῆς ΑΝΤΙ ἄντα ποιητικῶς καὶ ἀντίον, ὃ μετὰ τῆς ΕΝ ἐναντίον λέγεται κοινῶς· ἀπὸ τούτου γίνεται καὶ τὸ πρόσαντες ὅπερ ἐπὶ δυσκολίας λέγεται ὡς ἐναντιουμένων τινῶν. ἀπὸ τῆς ΠΕΡΙ πέριξ κοινῶς. ἀπὸ τῆς ΑΜΦΙ ἀμφὶς ποιητικόν, ταὐτὸν τῷ πέριξ, ἡ αὐτὴ γὰρ ἡ ΠΕΡΙ τῇ ΑΜΦΙ. πλὴν ὅτι ἡ μὲν ΠΕΡΙ παρὰ τοῖς κοινοῖς ἐν χρήσει, ἡ δὲ ΑΜΦΙ παρὰ τοῖς ποιηταῖς. ἀπὸ τῆς ΑΠΟ ἄπο κοινῶς, ὡς τὸ «οὐδ' ἄπο γνώμης ἐκείνῳ» (Greg. Naz. Or. XLIII 2, 4), καὶ ἀπὸ τούτου ἄποθεν καὶ ἀπωτάτω διὰ τοῦ Ω μεγάλου, ὡς τύπον ἔχον τῶν διὰ τοῦ ΟΤΕΡΟΣ καὶ ΟΤΑΤΟΣ. ἔχουσι δέ τινα αὐτῶν καὶ συγκριτικὰ καὶ ὑπερθετικά, οἷον ἐνδοτέρω καὶ ἐνδοτάτω, ἐξωτέρω καὶ ἐξωτάτω, προσωτέρω καὶ προσωτάτω, ἀνωτέρω ἀνωτάτω, κατωτέρω κατωτάτω. ἰστέον ὅτι οἱ ποιηταὶ ταῦτα τὰ ἀπὸ τῶν προθέσεων ἐπιρρήματα ἀντὶ τῶν προθέσεων λαμβάνουσι καὶ κατὰ τὰς προθέσεις αὐτὰ συντάσσουσιν, οἷον «Ἴλιον εἴσω» (Hom. Il. I 71 et al.), ἀντὶ τοῦ εἰς τὴν Ἴλιον, καὶ «ἔκτοσθεν λιπαρῆς παλαίστρης» (Theocr. Id. II 51), ἀντὶ τοῦ ἐκ τῆς παλαίστρας, καὶ οἶκον ἀμφίς, ἀντὶ τοῦ περὶ τὸν οἶκον. *fghq*

plan **I 21 (p. 11, 28)** ‹οἰκουροῦσι·› a. οἰκουρεῖν τὸ ἐν τῷ οἴκῳ διατρίβειν, ἐνταῦθα δὲ ἀντὶ τοῦ διατρίβουσι μόνον κεῖται τὸ οἰκουροῦσι. *hns*

plan b. οἰκουρεῖν λέγεται τὸ ἐν τῷ οἴκῳ διατρίβειν, ἐνταῦθα δὲ τὸ οἰκουροῦσι κεῖται μόνον ἀντὶ τοῦ διατρίβουσιν. *y*

plan c. διάγουσι. *y*

mosch d. ναὸς καὶ ἱερὸν ἔνθα τιμῶνται τὰ θεῖα· οἰκία καὶ οἴκημα

25–43,14 [Moschop.] Voc. Att. s.v. ναὸς καὶ ἱερὸν ἔνθα τιμῶνται τὰ θεῖα. οἰκία καὶ οἴκημα ἔνθα κατοικοῦσιν οἱ ἄνθρωποι, ὅθεν καὶ οἰκουρεῖν τὸ ἐν οἴκῳ διατρίβειν. χρειὰ (l. χειὰ) ἐπὶ δράκοντος, φωλεὰ ἐπὶ θηρίων, ὀπὴ ἐπὶ μυρμήκων καὶ μυῶν, νεοτία (l. νεοττιὰ) ἐπὶ τῶν μικρῶν ὀρνίθων, ἰλεὼς (l. ἰλεὸς) ἐπὶ ὄφεως. σταῦλος ἐν ᾧ ἵστανται ἵπποι καὶ ὄνοι καὶ ἕτερα κτήνη, καὶ ἔστι καθολικὸν ὄνομα. ἰδικῶς δὲ λέγονται ἱππῶνες καὶ ἱπποστάσεις ἐπὶ τῶν ἵππων, ὀνοστάσεις ἐπὶ τῶν ὄνων, καὶ σταθμὰ ἐπὶ πάντων καὶ κτηνοστασία (l. κτηνοστάσια). σηκὸς ἔνθα ἐγκλείουσι τὰ νεογνὰ ὅταν τὰς μητέρας ἀμέλγωσιν ἢ εἰς νομὴν ἐκπέμπωσιν. αἱ δὲ τῶν ἀνθρώπων οἰκίαι

2 καὶ ἀντίων h **3** καὶ τὸ πρίσαντες f **5** ταὐτὸν τὸ πέριξ h **6** ΠΕΡΙ παρὰ τοῖς κοινοῖς h ΠΕΡΙ om. f g q **7** ἄπω κοινῶς q | ὡς τό f g καὶ τό h **8** ἄπω γνώμης h **9** ἄπωθεν h **15** τὰς προθέσεις αὐτῶν h **20–21** τὸ οἰκουρεῖν h

ἔνθα κατοικοῦσιν ἄνθρωποι, ὅθεν καὶ οἰκουρεῖν τὸ ἐν τῷ οἴκῳ διατρίβειν. χειὰ ἐπὶ δράκοντος, φωλεὸς ἐπὶ θηρίων, ὀπὴ ἐπὶ μυρμήκων καὶ μυῶν, νεοττιὰ ἐπὶ τῶν μικρῶν ὀρνίθων, ἰλεὸς ἐπὶ ὄφεως. σταῦλος ἐν ᾧ ἵστανται ἵπποι καὶ ὄνοι καὶ ἕτερα κτήνη, καὶ ἔστι καθολικὸν ὄνομα. ἰδικῶς δὲ λέγονται ἱππῶνες καὶ ἱπποστάσεις ἐπὶ τῶν ἵππων, ὀνοστάσεις ἐπὶ τῶν ὄνων, καὶ σταθμὰ ἐπὶ πάντων καὶ κτηνοστάσια· σηκὸς ἔνθα ἐγκλείουσι τὰ νεογνὰ ὅταν τὰς μητέρας ἀμέλγωσιν ἢ εἰς νομὴν ἐκπέμπωσιν. αἱ δὲ τῶν ἀνθρώπων οἰκίαι ὀνομάζονται οὕτως· ἐν ᾧ κοιμῶνται, τοῦτο κελλίον λέγεται κοινῶς καὶ ἀττικῶς δωμάτιον, παρ᾽ Ὁμήρῳ θάλαμος, καὶ καταχρηστικῶς κοιτών· ὁ γὰρ κοιτὼν πολλῶν κοιτῶν ὀφείλει εἶναι περιεκτικός. τὸ μετὰ τοῦτον πρόδομος λέγεται καὶ παστάς, τὸ μετὰ τὸν πρόδομον δόμος· εἶτα αἴθουσαι τὰ κοινῶς ἐξάτα, εἶτα αὐλὴ καὶ ἕρκιον αὐλῆς. *fghq*

I 21 (p. 11, 29) ‹βαίνοντες·› ἔξω τῆς ὀπῆς βαίνοντες. *y* plan

I 21 (p. 11, 29) ‹ἀτρεμοῦντες·› a. ἡσυχάζοντες διάγουσιν ἔσω τῆς ἑαυτῶν στέγης. *lsy* plan

b. ἡσυχάζουσι. *n* plan

ὀνομάζονται οὕτως· ἐν ᾧ κοιμῶνται, τοῦτο κελλίον λέγεται κοινῶς καὶ ἀττικῶς δωμάτιον, παρ᾽ Ὁμήρῳ θάλαμος, καὶ καταχρηστικῶς κοιτών· ὁ γὰρ κοιτὼν πολλῶν κοιτῶν ὀφείλει εἶναι περιεκτικός. τὸ μετὰ τοῦτον πρόδομος λέγεται καὶ παστάς, τὰ μετὰ τὸν πρόδομον δόμος. εἶτα αἴθουσαι τὰ κοινῶς ἐξάττα (l. ἐξάτα, ἐξάιτα scrips. Du Canges s.v. ἐξάιτον), εἶτα αὐλὴ καὶ ἕρκιον αὐλῆς. s.v. θάλαμος ὁ τοὺς νυμφίους περιέχων οἶκος γάμου τελουμένου. ὁ κοινὸς λεγόμενος παστός. ἤτοι τὸ κελλίον, καὶ ἀττικῶς δωμάτιον, καὶ καταχρηστικῶς κοιτών. θάλαμος δὲ ἡ κατάδυσις τοῦ ὄφεως. πρόδομος ὁ μετὰ τὸν θάλαμον οἶκος, δόμος ὁ μετὰ τὸν πρόδομον. Schol. Philostr. Im. I 2 p. 219 Webb θάλαμος τὸ κοινῶς κελλίον καὶ ἀττικῶς δωμάτιον καὶ καταχρηστικῶς κοιτών· πρόδομος ὁ μετὰ τὸν θάλαμον δόμος, μετὰ τὸν πρόδομον. αἴθουσα τὰ μετὰ τοὺς δόμους, ἤγουν τὰ κοινῶς ἐξάτα, μεθ᾽ ἃς ἡ αὐλή, εἶτα ἑρκίον αὐλῆς.

6 καὶ ἐπὶ τῶν ὄνων h **7** κτηνοστασεῖα codd.: corr. Marcheselli **8** εἰς νομὰς q **12** περικτικός h | μετὰ τοῦτο q | πρόδωμος g **13** πρόδωμον δῶμος g **16–17** διάγουσιν ἔσω τῆς ἑαυτῶν στέγης add. y

I 22 (p. 12, 5) ‹διψῶσιν·› [ ] τὸ ἐρᾶν πιεῖν, καὶ λέγεται ἀπὸ τοῦ ἑπομένου, διὸ καὶ γενικῇ συντάττει. *L*[1]

I 22 (p. 12, 7) ‹φιλοῦσι δέ πως ἀλόγως αἶγας·› γράφεται φιλοῦσι δὲ τῶν ἀλόγων αἶγας. *K*

plan **I 24 (p. 13, 10)** ‹τῆτες·› τούτῳ τῷ ἔτει. *hlnsy*

plan **I 24 (p. 13, 10)** ‹θεάσαιο·› ἴδοις. *y*

plan **I 24 (p. 13, 10–11)** ‹εἰς νέωτα·› a. εἰς τὸ ἐπιὸν ἔτος. *lns*

plan b. ‹ἐς νέωτα·› ἐς τὸ ἐπιὸν καὶ μέλλον ἔτος. *y*

plan **I 24 (p. 13, 11)** ‹ὄψει·› a. θεάσῃ. *y*

plan b. ὄψει· εἰς τὸν μέλλοντα χρόνον ἴδοις. *y*

plan **I 24 (p. 13, 11)** ‹θῆλυν·› θήλειαν. *y*

plan **I 24 (p. 13, 12)** ‹κοινωνοῦσι·› μετέχουσι συνουσίας. *y*

plan **I 24 (p. 13, 12)** ‹ἀφροδίτης·› συνουσίας. *hlns*

plan **I 24 (p. 13, 12)** ‹ἑκατέρας·› τῆς τοῦ ἄρρενος καὶ τῆς τοῦ θήλεος. *hlnsy*

plan **I 24 (p. 13, 12)** ‹γαμοῦσι τε καὶ γαμοῦνται·› ὡς ἄρρενες βατεύουσι καὶ ὡς θήλειαι βατεύονται. *y*

plan **I 24 (p. 13, 13)** ‹ἀνὰ ἔτος πᾶν·› κατὰ πᾶν ἔτος. *hlnsy*

plan **I 24 (p. 13, 13)** ‹ἀμείβουσαι·› ἀλλάσσουσαι. *hlnsy*

plan **I 24 (p. 13, 13)** ‹γένος·› τὸ τοῦ ἄρρενος καὶ τὸ τοῦ θήλεος. *hny*

1–2 Greg. Pard. Synt. 74 διψῶ τοῦ οἴνου, γενικῇ, ὡς καὶ Δημοσθένης «διψῶ τοῦ κωνείου» (Liban. Decl. II 1, 10), ἀντὶ τοῦ ἐπιθυμίαν ἔχω· διψῶ δὲ τὸ θέλω πιεῖν, αἰτιατικῇ, ὡς καὶ τὸ «ἐδίψησέ σε ἡ ψυχή μου» (Psalm. LXII 2, 2). | Lex. synt. s.v. διψῶ σου, τὸ ἐπιθυμῶ, γενικῇ· τὸ δὲ θέλω πιεῖν, αἰτιατικῇ. **5** Harp. s.v. τῆτες (p. 289, 3–5 Dindorf = τ 12 Keaney)· ἀντὶ τοῦ τούτῳ τῷ ἔτει Λυσίας ἐν τῇ πρὸς Πυθόδημον ἀπολογίᾳ (fr. 268 Carey), εἰ γνήσιος, Ἀριστοφάνης Γήρᾳ (fr. 154 K.-A.) καὶ οἱ ἄλλοι. Hsch. τ 824 τῆτες· ἐν τῷδε τῷ ἔτει (Lys. fr. 268 Carey; Aristoph. fr. 154 K.-A.). Syn. τ 167 τῆτες· τούτῳ τῷ ἔτει, ἐπέτος (Su. τ 542; Phot. τ 271). **6** Cf. schol. I 2 (p. 2, 23) ad θεασάμενοι. **7–8** Hsch. ε 1165 εἰς νέωτα· εἰς τὸ ἐπιόν. ν 429 *νέωτα· εἰς τὸ ἐπιὸν ἢ νέον ἔτος. Syn. ν 69 νέωτα· τὸ ἐπιὸν ἔτος, ἤτοι εἰς τὸ μέλλον (Su. ν 241; Phot. ν 169). **19** Hsch. α 3540 ἀμείβοντα· ἀλλάσσοντα. 3542 ἀμείβων· ἀλλάσσων (Hom. Il. XI 546). Syn. α 371 ἀμείβων· ἀλλάσσων (Su. α 1565; Phot. α 1178). Cf. schol. X 18 (p. 241, 8) ad ἀμείβει.

1 margine decurtato initium scholii interiit **14** τὰ τοῦ ἄρρενος s **14–15** τὰ τοῦ θήλεος s **14** τῆς ante τοῦ θήλεος om. n **18** κατὰ om. s **20** τὸ[1] om. n τὸ[2] om. n

I 24 (p. 13, 14) ‹ἀρχαίους·› a. μωρούς. *hlnsy* plan

b. μωρούς· ὃ δὲ [ἔ]δει ὑβρίσαι [τοὺς] ποιητάς, [ὕ]βρισεν αὐτούς. [ο]ἱ γὰρ ποιηταὶ ἐμώραινον ποιοῦντες ἃ οὐκ ἔχει φύσιν γενέσθαι· τὸ γὰρ ἀνδρόγυνον τὸν αὐτὸν γενέσθαι ἀληθὲς ἔδειξαν ὕαιναι̣· ποιηταὶ δὲ ληροῦσιν ἀνδρογύνους Καινέα εἰσάγοντες καὶ Τειρεσίαν. *L*^{1}

I 24 (p. 13, 14) ‹οὐ κόμποις·› ματαίᾳ λόγων ἐπάρσει. *hlnsy* plan

I 24 (p. 13, 14–15) ‹ἀλλὰ τοῖς ἔργοις αὐτοῖς·› ἀλλὰ διὰ τῶν ἔργων αὐτῶν. *hlnsy* plan

I 27 (p. 14, 1) ‹ἵππος·› καὶ ἵππος τῶν κοινῶν ἐστι τῷ γένει, καὶ γίνεται ἀπὸ τοῦ ἵπτασθαι τὸ πέτεσθαι. ἀπὸ τούτου δὲ ἱππεὺς ὁ ἔποχος ἵππῳ· λέγεται δὲ καὶ ἡ ἵππος κατ᾽ ἔλλειψιν ἐπὶ τῶν ἱππέων, ὡς τὸ ἡ ἵππος τῶν Περσῶν ἐνίκησεν, ἤγουν οἱ ἱππεῖς. ποιητικῶς δὲ ἱπποκορυστὴς ὁ ἐφ᾽ ἵππου ὁπλίτης. *fghq* mosch

I 27 (p. 14, 1) ‹ἐρριμμένος·› νεκρὸς κείμενος. *hlmnqsy* plan

I 27 (p. 14, 1) ‹γένεσις·› ὕπαρξις. *hlmnqsy* plan

I 27 (p. 14, 1) ‹ὁ μὲν γὰρ·› ὁ ἵππος. *y* plan

I 27 (p. 14, 2) ‹ὑποσήπεται·› κατὰ μικρὸν σήπεται. *hlmnqsy* plan

I 27 (p. 14, 2) ‹τοῦ μυελοῦ·› τοῦ ἵππου. *y* plan

I 27 (p. 14, 2) ‹ἐκπέτονται·› πέτεται τὰ πτηνά, διεπέτασε δέ τις τὰς χεῖρας, ἤγουν ὕψωσε, καὶ ἐπετάσθη ἀντὶ τοῦ ὑψώθη. *fghq* mosch

1–2 Moschop. Sched. p. 212 ἀρχαῖος δὲ ὁ παλαιός. καὶ ἀπὸ μεταφορᾶς τούτου ὁ ἄχρηστος καὶ μωρός. Schol. Aeschyl. Prom. 317 (ed. Herington) ἀρχαῖα ἴσως σοι· ἀρχαῖα λέγονται τὰ μωρά, διότι οἱ ἀρχαῖοι τοιοῦτοι ἦσαν, ἁπλούστατοι καὶ εὐηθεῖς. ἢ οἱ γέροντες καὶ οἱ ἔξωροι τοιοῦτοί εἰσι. Schol. rec. Aristoph. Nub. 984d ἀρχαῖα· μωρά. **7** Philop. Voc. (rec. e) κ 10 κόμπος· ἔπαρσις, κομπὸς δὲ ὁ ἀλαζών. Su. κ 2019 κόμπος· ἀλαζονεία, ἔπαρσις. **10–11** Choer. Epim. p. 132, 30–31 ἵππος, παρὰ τὸ τοῖς ποσὶν ἵπτασθαι (ἵεσθαι), ὅ ἐστιν ἵπτασθαι. [Zon.] s.v. ἵππος· παρὰ τοῖς ποσὶν ἵεσθαι. ἵπτασθαι, ὅ ἐστι πέτεσθαι. **12–13** Porph. Quaest. Hom. (rec. V) 85 Sodano ἐν τῇ συνηθείᾳ φαμὲν ἡ τῶν Περσῶν ἵππος ἐνίκησεν, ἤγουν οἱ ἱππεῖς. **18** Schol. Nic. Alex. 247b ὑποσήπεται· σήπεται κατὰ μικρόν.

2–3 supplevi **7** ἐπάρσει om. s **8** ἀλλὰ om. h l n s **9** ‹ἔργ›ων ‹αὐτ›ῶν n s **10** καὶ ὁ ἵππος h **11** πέτασθαι g | καὶ ante ἱππεὺς add. h **12** ἡ ante ἵππος om. f g q | κατὰ σύλληψιν h | ἐπὶ g h q ἀπὸ f **14** ἐφ᾽ ὕππου g ἐφ᾽ ἵπου q **18** σήπεται om. s

mosch **I 27 (p. 14, 2)** ‹οὗτοι·› ἰστέον ὅτι ἡ οὗτος ἀντωνυμία καὶ τὸ θηλυκὸν αὐτῆς αὕτη καὶ κλητικὰς ἔχουσιν, οἷον ὦ οὗτος καὶ ὦ αὕτη, καὶ ἐπὶ πληθυντικῶν ὦ οὗτοι καὶ ὦ αὗται· ὅπερ οὐδεμιᾷ ἑτέρᾳ ἀντωνυμίᾳ συμβαίνει. ἔστι δὲ δεικτικὴ καὶ ἔχει πλείονα δεῖξιν ὅταν τὸ Ι προσλάβῃ, οἷον οὑτοσὶ καὶ αὑτηῒ καὶ τουτί. ἔστι δὲ ὁ προσχηματισμὸς οὗτος ἀττικός. διαφέρει δὲ τῶν ποιητικῶν προσχηματισμῶν τῷ ἐνταῦθα μὲν εἶναι τὸ Ι μακρόν, ἐν ἐκείνοις δὲ βραχύ, οἷον ἀνθρώποισιν, ἵπποισιν, καὶ τῷ τὰ ἀττικῶς προσχηματιζόμενα ὀξύτονα εἶναι, οἷον οὑτοσίν, αὑτηΐ, τὰ δὲ ποιητικῶς ἀεὶ βαρύτονα, οἷον τούτοισιν. ἰστέον δὲ ὅτι τὸ οὑτοσὶ μόνον ἐν τῇ εὐθείᾳ προσλαμβάνει τὸ Ν φωνήεντος ἐπιφερομένου, τὸ δὲ αὑτηῒ καὶ τουτὶ οὐδαμῶς. τὰ δὲ ποιητικὰ πάντα τὸ Ν προσλαμβάνουσιν εἰ φωνῆεν ἐπιφέρεται· ἐν τῇ δοτικῇ γὰρ ταῦτα ὁρίζεται, ἧς ἴδιον τὸ προσλαμβάνειν τὸ Ν. *fghq*

plan **I 27 (p. 14, 2)** ‹ὠκίστου·› ταχυτάτου. *hlmnqsy*

plan **I 27 (p. 14, 3)** ‹ἔκγονα·› a. παιδία. *y*

1–14 Et. Gud. s.v. οὗτος, ἀντωνυμία μονοπρόσωπος· τέσσαρες γὰρ εἰσὶ μονοπρόσωποι ἀντωνυμίαι. οὗτος, αὐτὸς, ἐκεῖνος καὶ ὅδε· καὶ ὁ δεῖνα κατὰ παραγωγήν· τὸ δὲ δεικτικὸν οὑτοσί· τὸ γὰρ οὑτοσί, ἐκεινοσὶ καὶ ὧδε γίνεται κατ᾽ ἐπέκτασιν τοῦ ἰῶτα πρὸς ἐμφανισμὸν πλείονος δείξεως· ἡ δὲ αὐτὸς στερηθεῖσα τῆς δείξεως, ἐστερήθη καὶ τῆς διὰ τοῦ ἰῶτα ἐπεκτάσεως· οὕτω καὶ ἡ κλητικὴ ὦ οὗτος Ἀττικῶς· ὁμοίως καὶ τὸ ἐκεῖνος· ἡ δὲ αὐτὸς κλητικὴν οὐκ ἔχει· ἡ δὲ οὗτοι καὶ ἐκεῖνοι ἀντιδεκτικοί εἰσιν, ἡ δὲ αὐτὸς ἀναφορὰν δηλοῖ· ἐναντία δέ ἐστιν ἡ δεῖξις τῆς ἀναφορᾶς. **4–10** Moschop. Constr. c. 223 ἰστέον ὅτι ὅταν ἀντωνυμία τὸ Ι προσλάβῃ, πλείονα δεῖξιν ἔχει, οἷον οὑτοσὶ καὶ αὑτηῒ καὶ τουτί. ἔστι δὲ ὁ σχηματισμὸς οὗτος ἀττικός. διαφέρει δὲ τῶν ποιητικῶν προσχηματισμῶν τῷ ἐνταῦθα μὲν εἶναι τὸ Ι μακρόν, ἐν ἐκείνοις δὲ βραχύ, οἷον ἀνθρώποισιν, ἵπποισιν, καὶ τῷ τὰ ἀττικῶς προσχηματιζόμενα βαρύτονα εἶναι, τὰ δὲ ἀττικῶς ὀξύτονα, οἷον οὑτοσίν, αὑτηΐ. **15** [Zon.] s.v. ὠκιστος· ταχύτατος.

3 οὐδὲ μιᾷ g h **4** δεκτικὴ f **7** τὸ ἐνταῦθα q **11** εὐθεῖα g **12** πάντα post προσλαμβάνουσιν h **13** εἰ ἐπιφέρεται φωνῆεν h

b. ἔκγονος ὁ υἱὸς διὰ τοῦ Κ καὶ Γ, ἔγγονος δὲ διὰ δύο Γ ὁ τοῦ υἱοῦ υἱός. *fghq* mosch

I 27 (p. 14, 3) ‹σφῆκες·› ἡ σφὶγξ τῆς σφιγγός, Ι· αὕτη δὲ ἦν ζῷόν τι τερατῶδες. ὁ σφὴξ δὲ ἀρρενικῶς, Η· ἔστι δὲ ζῳύφιόν τι κατὰ τὸ μέσον συνεχῶς κινούμενον· ὅθεν σφηκίας ὁ κατὰ τὰ μέσα λεπτός, καὶ σφηκία ἡ συνθήκη τοῦ μέλιτος αὐτῶν. *fghq* mosch

I 28 (p. 14, 11) ‹στρέφουσα·› ἐμβάλλουσα. *T*

I 28 (p. 14, 13) ‹μορφάζει·› μορφῆς διάφορα δεικνύουσι. *T*

I 30 (p. 15, 2) ‹τὴν δὲ ὕστριχα·› τὸν λεγόμενον σύαγρον. *L*^{1}

I 30 (p. 15, 5) ‹στοχῷ·› ἀντὶ τοῦ εὐστόχως. *L*^{1}

I 31 (p. 15, 11) ‹καράβῳ·› κάραβος ἡ λεγομένη λιχούσδα. *L*^{1}

I 31 (p. 15, 15) ‹τὸ σόφισμα·› τὸ μηχάνημα. *T*

I 31 (p. 15, 16) ‹αἱρεῖσθαι·› συμβοηθεῖσθαι. *T*

I 32 (p. 16, 2) ‹νήχεται·› νεῖν τὸ κολυμβᾶν, νήχεσθαι ἐπὶ τῆς ἐν τῷ ὕδατι πορείας τῶν ἐνύδρων ζῴων, ὅθεν καὶ νηκτὰ αὐτὰ λέγεται· πλεῖ δὲ ἡ ναῦς καὶ ἕτερα ἃ φύσιν ἔχει μὴ καταδύεσθαι ἐν τοῖς ὕδασιν. *fghq* mosch

I 32 (p. 16, 4) ‹αὖθις·› αὖθις κοινὸν, αὗτις ποιητικόν· ἔστι δὲ ἀντὶ τοῦ πάλιν. αὖθι δὲ ἀντὶ τοῦ εὐθέως καὶ ἀντὶ τοῦ αὐτόθι, καὶ τοῦτο ποιητικόν. *fghq* mosch

1–2 Et. Gud. s.v. ἔγγονα· διὰ τῶν δύο γγ σημαίνει τὰ τέκνα τῶν τέκνων· ὅτε δὲ διὰ τοῦ κ γράφεται ἔκγονα, τὰ ἴδια τέκνα. s.v. ἔκγονος ἔγγονος καὶ ἀπόγονος διαφέρει· ἔκγονος μὲν γάρ ἐστιν υἱός, ἔγγονος δὲ υἱὸς υἱοῦ, ἀπόγονος δὲ ὁ τῶν ἐγγόνων πάλιν υἱός. Thom. Mag. Ecl. p. 361, 19–20 ἔκγονος ὁ υἱός· ἔγγονος δὲ ὁ υἱοῦ ἢ θυγατρὸς υἱός, καὶ ἐγγόνη ἡ τούτων θυγάτηρ. Schol. Soph. Ai. 842a ἐκγόνων· ἔκγονος καὶ ἔγγονος διαφέρει. ἔκγονος ὁ υἱός, ἔγγονος δὲ ὁ τοῦ υἱοῦ υἱός. **3–6** [Moschop.] Voc. Att. s.v. σφηκία λέγεται ἡ συνθήκη τοῦ μέλιτος τῶν σφηκῶν, ὡς τὸ σφηκία εὐθυνομένη. **12** Schol. Aeschyl. Prom. 459 (ed. Dindorf) ἔξοχον σοφισμάτων· ὑπέρτατον τῶν ἄλλων μηχανημάτων. **14–17** Cf. schol. 1, 4 (p. 3, 15) ad προνέουσιν. **18–20** Tzetz. Exeg. in Il. I 140 (p. 216, 9–15 Papath.) αὖτις καὶ αὖθις εἶπον ἣν λέγουσιν ἔχειν διαφοράν. καὶ ἐμὸν δὲ ἀπεδόμην κανόνα τὸ αὖθις λέγων Ἀττικόν, τὸ δὲ αὖτις κοινὸν καὶ Ἰωνικόν· ἀλλὰ συγγνωστέον μοι μικρὸν ἐκεῖ παρασφαλέντι· τὸ αὖτις, Ἰωνικόν ἐστι· ψιλωταὶ γὰρ οἱ Ἴωνες καὶ Δωριεῖς καὶ Αἰολεῖς· δασυνταὶ δὲ ἐν πολλοῖς Ἀττικοί, τὸ αὖτις αὖθις λέγοντες καὶ τὸ ἀμπέχειν ἀμφέχειν καὶ ἕτερα ὅμοια. [Moschop.] Voc. Att. s.v. αὖθις μετὰ τοῦ Σ τὸ πάλιν, αὖθι δὲ ἀντὶ τοῦ αὐτόθι χωρὶς τοῦ Σ, καὶ αὖτις μετὰ τοῦ Τ τὸ ὕστερον.

4 ὁ σφὴγξ g **19** αὖθι g h q αὖθις f

mosch **I 32 (p. 16, 4)** ‹τῆσδε·› εἰδέναι δεῖ ὅτι πᾶν ἄρθρον προσλαβὸν τὸν ΔΕ σύνδεσμον καὶ ὀξυτονηθὲν εἰς ἀντωνυμίαν μεταπίπτει, οἷον ὅδε ἀντὶ τοῦ οὗτος, καὶ ἥδε ἀντὶ τοῦ αὕτη, καὶ τόδε ἀντὶ τοῦ τοῦτο· καὶ κλινόμενα μετὰ τοῦ ΔΕ τὴν αὐτὴν ἔχουσι σημασίαν. *fghq*

I 32 (p. 16, 4–5) ‹τῆς εὐερμίας·› a. τῆς καλῆς εὑρήσεως. *FH*

mosch b. τῆς ἀσφαλοῦς καὶ ἀδιεξόδου ἄγρας. *h*

mosch **I 32 (p. 16, 5)** ‹συνεαλώκασι·› συνεσχέθησαν καὶ ὁμοῦ πᾶσαι ἐκρατήθησαν. *h*

mosch **I 32 (p. 16, 6)** ‹ἐκείνης·› ἰστέον ὅτι τὸ ἐκεῖνος καὶ κεῖνος γράφεται χωρὶς τοῦ Ε, ὡς τὸ «κεῖνον γὰρ κοὐδέν᾽ ἄλλον ἰχνεύω πάλαι» (Soph. Ai. 20). *fghq*

mosch **I 32 (p. 16, 6)** ‹φυγήν·› φεύγει τις διωκόμενος ὑπό τινος, λέγεται δὲ ἐπὶ δρόμου καὶ ἐπὶ κατηγορίας, καὶ φυγὴ ἐπὶ τούτων, ἥτις ποιητικῶς λέγεται φύζα. *fghq*

mosch **I 32 (p. 16, 6)** ‹ἐξίασιν·› a. ἀπὸ τοῦ ἵημι τὸ τρίτον τῶν πληθυντικῶν ἱέασι καὶ ἱᾶσιν· ὅθεν ἐνιᾶσι, συνιᾶσι, προιᾶσι, καθιᾶσι, μεθιᾶσι, παριᾶσιν, ἐφιᾶσιν, ἀφιᾶσι, καὶ ὑφιᾶσιν. ἀπὸ δὲ τοῦ εἶμι τὸ πορεύομαι τὸ τρίτον τῶν πληθυντικῶν ἴασιν· ὅθεν τὸ ἐξίασιν ἀντὶ τοῦ ἐξέρχονται, εἰσίασιν ἀντὶ τοῦ εἰσέρχονται, συνίασι, προσίασι, προΐασι, κατίασι, διίασι, μετίασιν ἀντὶ τοῦ μετέρχονται, ἐπίασι, περιίασι, καὶ ἀπίασιν. *fghq*

mosch b. ἐξέρχονται. *h*

I 32 (p. 16, 6) ‹ὁδόν τινα·› ἔξοδον, ἐξέλευσιν. *h*

13–14 [Moschop.] Voc. Att. s.v. φεύγει τις διωκόμενος ὑπό τινος, καὶ φεύγει φυγαδευόμενος καὶ ἐξοριζόμενος, καὶ φεύγει κατηγορούμενος (= Schol. Anth. Pal. IX 378, 12 p. 37 Luppino). Schol. Philostr. Im. I 6 p. 223 Webb φεύγει τι διωκόμενον ὑπό τινος. **14–15** Moschop. Sched. p. 251 φυγή· φύζα ποιητικῶς, τὸ αὐτό. **16–22** Theodos. Can. p. 84, 4–5 καὶ ἀπὸ οὖν τοῦ ἵημι ἵησι ἱεῖσι ἰωνικῶς ἱέασι καὶ κατὰ κρᾶσιν Ἀττικὴν ἱᾶσι, καὶ ἐν συνθέσει ἀφιᾶσιν. Lex. Herm. p. 332, § 88 Hermann ὅσα γίνονται ἀπὸ τοῦ ἵημι, τὸ πέμπω, ἐπὶ τοῦ τρίτου τῶν πληθυντικῶν προπερισπῶνται, ὡς τὸ ἀφιᾶσιν. ὅσα δὲ ἀπὸ τοῦ εἶμι, τὸ πορεύομαι, ἐπὶ τοῦ τρίτου τῶν πληθυντικῶν προπαροξύνονται, ὡς τὸ ἀπίασι.

1 δὲ post εἰδέναι add. g | προσλαβὼν g **10** δὲ post ἰστέον add. h **11** χωρὶς τοῦ Ε γράφεται h | κ᾽ οὐδὲν fgh **17** ἆσιν q ἱᾶσιν cett. **17–18** ὅθεν ἐνιᾶσι, συνιᾶσι, προϊᾶσι, καθιᾶσι, μεθιᾶσι om. h **18** ἀφιᾶσιν h **20** εἰσέρχομαι h[a.c.] **20–21** προίασι, προσίασι h

I 32 (p. 16, 6) ‹ἡγεμόνος·› a. ἡγοῦμαι τὸ νομίζω, τὸ ἄρχω καὶ τὸ ὁδηγῶ, ὅθεν ἡγεμὼν ὁ ὁδηγὸς καὶ ὁ ἄρχων, ὃ ποιητικῶς λέγεται ἡγήτωρ. ἀπὸ δὲ τοῦ ἡγοῦμαι τὸ νομίζω οὐ γίνεται ὄνομα. *fghq* mosch

b. ὁδηγοῦ. *h* mosch

I 33 (p. 16, 7) ‹μέλλωσιν·› τὸ μέλλειν τὸ ὑπισχνεῖσθαι, τὸ ἐλπίζειν, τὸ οἴεσθαι καὶ τὸ ἐπιθυμεῖν μετὰ μέλλοντος πρώτου συντάσσονται ἢ μετὰ ἐνεστῶτος. ἐπεὶ δὲ καὶ τὸ φοβεῖσθαι ἐλπίζειν ἐστὶ κακὰ καὶ τὸ προσδοκᾶν ἐλπίζειν ἀγαθὰ καὶ κακά, οὕτω καὶ αὐτὰ συντάσσεται. *fghq* mosch

I 33 (p. 16, 7) ‹αἱρεῖν·› a. κρατεῖν. *hlmnsy* plan

b. αἱρῶ τὸ κρατῶ καὶ καταβάλλω· ἀπὸ τούτου ἀναιρῶ τὸ φονεύω, καὶ καθαιρῶ τὸ καταβάλλω, καὶ συναιρῶ τὸ δύο τινὰ εἰς ἓν συνάγω, καὶ διαιρῶ τὸ τὰ ἡνωμένα χωρίζω, καὶ περιαιρῶ τὸ στερίσκω, καὶ ἀφαιρῶ ὃ καὶ ἀφαιροῦμαι λέγεται, καὶ ὑφαιρῶ τὸ mosch

1–4 Hsch. η 91 ἡγοῦμαι· ἡγεμονεύω. νομίζω, ὑπολαμβάνω, λογίζομαι. προκρίνομαι. **6–10** Planud. Epim. ined. (ε^{6} f. 107^{r}) = [Moschop.] Voc. Att. s.v. ἰστέον ὅτι τὸ μέλλειν τὸ οἴεσθαι, τὸ ἐλπίζειν, τὸ προσδοκᾶν, τὸ φοβεῖσθαι, τὸ ὑπισχνεῖσθαι, ὃ λέγεται καὶ [καὶ om. ε^{6}] ἐπὶ καλοῦ, οἷον ὑπισχνοῦμαι ὠφελήσειν σοι [σε ε^{6}] καὶ τὸ ἀπειλεῖν ὅπερ ἐστὶν [ἔχει τὸ ε^{6}] ἐναντίον τούτου καὶ [καὶ om. ε^{6}] λέγεται [γὰρ add. ε^{6}] ἐπὶ κακοῦ, οἷον ἀπειλῶ κακῶς ποιήσειν τινά, καὶ ὅσα τῆς σημασίας αὐτῶν εἰσι, μέλλοντι πρώτῳ συντάσσονται ἢ ἐνεστῶτι, οἷον μέλλω ποιήσειν τὶ ἢ ποιεῖν καὶ ἐλπίζω ὁμοίως καὶ προσδοκῶ καὶ τὰ ἄλλα πάντα. **11–50,11** [Moschop.] Voc. Att. s.v. αἱρῶ τὸ κρατῶ καὶ αἱρῶ τὸ καταβάλλω, οἷον ὁ πέλεκυς τὰ δένδρα αἱρεῖ. s.v. τὸ ἄρδην ἀπὸ τοῦ αἴρω γίνεται, ἐπεὶ τὸ αἴρω δηλοῖ τὸ ὑψῶ καὶ τὸ ἀφανίζω. καὶ τὸ ἄρδην δύο δηλοῖ, τὸ μετεώρως καὶ κούφως, ἐνίοτε δὲ τὸ ἀφανιστικῶς. Moschop. Sched. p. 239 αἱρῶ τὸ κρατῶ καὶ καταβάλλω. p. 249 ἄρδην ἀντὶ τοῦ ἀφανιστικῶς, ἢ μετεώρως καὶ κούφως. Schol. Philostr. Im. I 10 p. 231 Webb αἱρῶ τὸ κρατῶ καὶ καταβάλλω· ἀφ᾽ οὗ ἀναιρῶ τὸ φονεύω, καὶ συναιρῶ τὸ συνάγω, καὶ καθαιρῶ τὸ καταβάλλω, καὶ διαιρῶ τὸ χωρίζω, καὶ περιαιρῶ τὸ ἐκβάλλω καὶ στερίσκω, καὶ ἀφαιρῶ καὶ ἀφαιροῦμαί τινα τὰ ὅπλα, ἀντὶ τοῦ ἀπ᾽ ἐκείνου λαμβάνω, καὶ ὑφαιρῶ τὸ κρυφίως λαμβάνω, ἤγουν τὸ κλέπτω, καὶ αἱροῦμαι τὸ βούλομαι καὶ προκρίνω, ἀφ᾽ οὗ προαιροῦμαι ὅταν δύο τινῶν προκειμένων τὸ ἕτερον προτιμῶ. καὶ αἴρω τὸ ὑψῶ, ἀφ᾽ οὗ ἐξαίρω τὸ ὡς ἐξαίρετον ἐξάγω, καὶ καταίρω τὸ ἐλλιμενίζω, καὶ ἀπαίρω τὸ ἐπιδημῶ, ἐπὶ τῶν πλεόντων καὶ ἐπαιρόντων τὰ ἱστία μετενηνεγμένον. Cf. schol. I 4 (p. 3, 20) ad τὸν ᾑρημένον et X 18 (p. 241, 6) ad αἱρῇ.

12–13 ἀπὸ τούτου ἀναιρῶ τὸ φονεύω, καὶ καθαιρῶ τὸ καταβάλλω h$^{s.l.}$ om. f

κλέπτω. αἱροῦμαι δὲ τὸ βούλομαι καὶ προκρίνω, ἀφ' οὗ τὸ προαιρεῖσθαι ἐπὶ δύο τινῶν ὅταν τις τὸ ἓν προτιμήσῃ τοῦ ἑτέρου. αἴρειν δὲ τὸ κουφίζειν καὶ ἀφανίζειν, ὃ ποιητικῶς λέγεται ἀείρειν, ἀφ' οὗ τότε ἄρδην ὃ δηλοῖ πῇ μὲν τὸ μετεώρως καὶ κούφως, πῇ δὲ τὸ ἀφανιστικῶς καὶ τὸ ἐξαίρετον, καὶ τὸ ἐξαίρειν τὸ ὡς ἐξαίρετον ἐξάγειν ὡς τὸ «ἐξαίρω μέντοι τοῦ λόγου τὸν ῥήτορα» (Hermog. Id. p. 221, 5–6 Rabe), καὶ καταίρειν τὸ τὴν ναῦν εἰς λιμένα κατάγεσθαι, καὶ μεταίρειν, καὶ ἀπαίρειν κυρίως μὲν ἐπὶ τῶν αἰρόντων τὰ ἱστία καὶ μετατιθεμένων ἢ ἀποδημούντων, καταχρηστικῶς δὲ καὶ ἐφ' ἑτέρας ἀποδημίας καὶ μεταθέσεως, καὶ ἐπαίρειν τὸ ἀναπείθειν, καὶ ὑπεραίρειν καὶ ὑπεραίρεσθαι. *fghq*

mosch **I 33 (p. 16, 8)** ‹ἀγαθοί·› ἀγαθὸς ὁ κατὰ ψυχὴν τοιοῦτος καὶ ἀγαθὸς τήνδε τὴν τέχνην, ἤγουν ἐπιτήδειος, καλὸς δὲ ὁ εὐειδής. *fghq*

plan **I 33 (p. 16, 8)** ‹θηραταί·› ἀγρευταί. *y*

plan **I 33 (p. 16, 8)** ‹συνιεῖσα·› συμβαλοῦσα, νοήσασα. *hlmnsy*

plan **I 33 (p. 16, 8)** ‹παρῆκε·› a. εἴασεν, ἀφῆκε. *hlmnsy*

mosch b. παρίημι τὸ ἐνδίδωμι, καὶ ἀπὸ τούτου ἐπὶ παρακειμένου τὸ παρεικὼς διὰ διφθόγγου, ὅθεν τὸ «ὅποι παρείκοι» (cf. Thuc. III 1, 2) ἐπὶ εὐκτικοῦ ἢ ὑποτακτικοῦ, ἀντὶ τοῦ συγχωροίη καὶ ἐνδιδοίη. *fghq*

plan **I 33 (p. 16, 9)** ‹ἀπόσφαγμα·› τὸ ἐν αὐτῇ μέλαν λέγει ᾧπερ ὡς αἵματι χρῆται αὐτή. *hlmnsy*

plan **I 33 (p. 16, 9)** ‹καταχεῖται·› διόλου χεῖται. *y*

plan **I 33 (p. 16, 9)** ‹περιλαμβάνει·› αὐτήν. *y*

plan **I 33 (p. 16, 10)** ‹ἀφανίζει·› ἀποκρύπτει. *hmy*

12–14 Cf. schol. IV 51 (p. 96, 4) ad ἀγαθόν. **15** Cf. schol. I 2 (p. 3, 1) ad θηρατής. **17** Hsch. π 899 παρῆκεν· ἀφῆκεν, εἴασεν, ἔλειπεν. 902 παρῆκεν· εἴασεν, ἀφῆκεν, ἀπέλυσεν. Cyr. π 71 Hag. παρῆκεν· εἴασεν, ἀπέλυσεν.

2 τὸ ἓν om. f **11** ὑπεραίρει g | ὑπερέρεσθαι g ὑπαιρέσθαι h **13** ⟦τὴν⟧ τήνδε τὴν τέχνην g **16** συμβαλοῦσα add. m **17** ἀφῆκε add. y **19** τὸ παρεικὸς f | καὶ ante τὸ ὅποι add. q | παρείκῃ (οι s.l., i.e. παρείκοι) f q παρείκκοι g παρείκ( ) h **20** ἢ ὑποτακτικοῦ om. g ἢ ὑποστατικοῦ f συχωροίη q **20–21** ἐνδοίη q **22** τὸ ἀπόσφαγμα ante τὸ ἐν αὐτῇ add. l λέγεται n s | ὅπερ l ὥσπερ n s y **23** ὡς om. n y | αὐτῇ n

I 33 (p. 16, 10) ‹ἀφανίζει πᾶσαν καὶ κλέπτεται·› ἀποκρύπτει καὶ ἀπατᾶται. *ns* plan

I 33 (p. 16, 10) ‹κλέπτεται·› ἀπατᾶται. *hmy* plan

I 33 (p. 16, 10) ‹τὴν ὄψιν·› ὄψιν λέγει νῦν τὴν ἐνέργειαν τῶν ὀφθαλμῶν. *hlmnsy* plan

I 33 (p. 16, 10) ‹ἁλιεύς·› ἁλιεὺς κοινόν, ἁλίτρυτος ποιητικόν, ὁ ἐν τῇ ἁλὶ δηλονότι τρυχόμενος· ἰστέον δὲ ὅτι ἅλς ἡ θάλασσα ἑνικὰ μόνον ἔχει, ὁ ἅλς δὲ τὸ ἅλας καὶ ἑνικὰ καὶ δυικὰ καὶ πληθυντικά, καὶ τὸ μὲν ἀρρενικῶς γράφεται, ἡ θάλασσα δὲ θηλυκῶς. *fghq* mosch

I 33 (p. 16, 10) ‹ἣ μέν·› ἡ σηπία. *hmy* plan

I 33 (p. 16, 10–11) ‹ἐν ὀφθαλμοῖς·› ἔμπροσθεν τῶν ὀφθαλμῶν. *hmnsy* plan

I 33 (p. 16, 11) ‹ὃ δέ·› ὁ ἁλιεύς. *y* plan

I 33 (p. 16, 11) ‹τοιοῦτον·› τὸ τοιοῦτον, τὸ τοσοῦτον καὶ τὸ ταὐτὸν ἐν ἐπιμεμελημένῃ φράσει, χωρὶς τοῦ Ν γράφονται εἰ σύμφωνον ἐπάγοιτο, εἰ δὲ φωνῆεν μετὰ τοῦ Ν. *fghq* mosch

I 33 (p. 16, 11) ‹νέφος·› ὁμίχλην. *y* plan

I 33 (p. 16, 12) ‹περιβαλών·› a. ἐνδύσας. *y* plan

b. περιβαλὼν ἀπὸ τῆς ΠΕΡΙ προθέσεως καὶ τοῦ βάλλω· ἔστι δὲ ἀντὶ τοῦ περιλαβών. ἀπὸ τοῦ βάλλω δὲ γίνεται ἐπήβολος, ὁ ἐπιβάλλων ὀρθῶς τοῖς πράγμασι, καὶ ἔστιν ἡ λέξις ἀττικὴ καὶ ποιητική· προσετέθη δὲ τὸ Η διὰ τὰ μέτρα. ἀπὸ τούτου καὶ βέλος, τὸ πεμπόμενον, καὶ ἡ βολὴ καὶ τὸ ἐκ τῆς βολῆς τραῦμα. καταχρηστικῶς δὲ παρ᾽ Ὁμήρῳ καὶ τὴν ὠδίνουσαν ὀξὺ βέλος ἔχει (Il. XI 269). *fghq* mosch

1–3 Phot. κ 768 κλεπτόμενοι· ἀπατώμενοι. **4–5** Galen. Meth. med. p. 48 Kühn τὸ μὲν γὰρ ὄργανον ὀφθαλμός, ἐνέργεια δ᾽ ἡ ὄψις. **6–10** [Moschop.] Voc. Att. s.v. ἁλιεὺς κοινόν, ἁλίτρυτος ποιητικόν, ὁ ἐν τῇ ἁλὶ δηλονότι τρυχόμενος. ἰστέον δὲ ὅτι ἅλς ἡ θάλασσα ἑνικὰ μόνον. ὁ ἅλς δὲ τὸ ἅλας καὶ ἑνικὰ καὶ δυικὰ καὶ πληθυντικά, καὶ τὸ μὲν ἀρσενικῶς γράφεται, ἡ θάλασσα δὲ θηλυκῶς. Schol. Theocr. I 45b ἁλιτρύτοιο· τοῦ ἐν τῇ θαλάσσῃ πονοῦντος καὶ τρυχομένου καὶ τειρομένου.

1 κρύπτει s **4** ὄψιν λέγει νῦν om. n s y **6** ἁλίτρυτος δὲ h **7** τρεχόμενος g **7–8** ἰστέον ὅτι ἅλς ἡ θάλασσα ἑνικὰ μόνον ἔχει om. g **12–13** ‹ὀφθαλμ›ῶν s **16** ἐπιμελημένῃ f g **21** ἐπίβολος g q **22** ἐπιβάλων q **24** πεμπόμενον f g q πετόμενον h **25** ὠδύνουσαν h

mosch **I 33 (p. 16, 11)** ‹ἠπάτησε·› ἀπατάω ἀπατῶ, καὶ μετὰ τῆς ΕΞ προθέσεως ἐξαπατάω ἐξαπατῶ τὸ αὐτό. ἰστέον δὲ ὅτι εἰσί τινα ῥήματα χωρὶς μὲν προθέσεως παθητικῶς ἐκφερόμενα, μετὰ δὲ προθέσεως ἐνεργητικῶς, ἐνίοτε καὶ ἐν ἑτέρᾳ συζυγίᾳ, οἷον μάχομαι μαχοῦμαι, συμμαχέω δὲ συμμαχῶ, μαίνομαι, ἐκμαίνω δὲ ἕτερον. ἕτερα δὲ ἐνεργητικῶς μὲν γραφόμενα μετὰ δὲ προθέσεως παθητικῶς ἐνίοτε καὶ ἐν ἑτέρᾳ συζυγίᾳ, οἷον ὤθω, ἀφ᾽ οὗ καὶ ὦσεν, ἀπωθοῦμαι δέ. ἕτερα ἐνεργητικῶς γραφόμενα καὶ μετὰ προθέσεως ἢ προσθήκης τινὸς αὖθις ἐνεργητικῶς, ὅμως μεταπίπτοντα εἰς ἑτέραν συζυγίαν καὶ ἔννοιαν, οἷον δοκέω δοκῶ, προσδοκάω δὲ προσδοκῶ, μόλω, αὐτομολέω δὲ αὐτομολῶ, καὶ πολεμέω πολεμῶ, ἐκπολεμόω δὲ ἐκπολεμῶ, καὶ λέγω, εὐλογέω δὲ εὐλογῶ. ἐπὶ τῶν τοιούτων δὲ πάντων συμβαίνει τὰ μὲν ἑτέραν ἔννοιαν ἔχειν μετὰ τῶν προθέσεων, οἷον ὁρμῶ ἐγώ, ἐξορμῶ δὲ ἕτερον, ἤγουν παρακινῶ, τὰ δὲ τὴν αὐτήν, οἷον ἥκω καὶ ἀφικνοῦμαι. εἰσὶ δὲ ἕτερα ἃ καὶ χωρὶς προθέσεως ἐν δυσὶ συζυγίαις λέγε-

2–53,9 Moschop. Constr. c. 219 ἰστέον ὅτι εἰσί τινα ῥήματα χωρὶς μὲν προθέσεως παθητικῶς ἐκφερόμενα, μετὰ δὲ προθέσεως ἐνεργητικῶς, ἐνίοτε καὶ ἐν ἑτέρᾳ συζυγίᾳ, οἷον μαχέομαι μαχοῦμαι, συμμαχέω δὲ συμμαχῶ, μαίνομαι ἐκμαίνω δὲ ἕτερον. ἕτερα δὲ ἐνεργητικῶς μὲν γραφόμενα μετὰ δὲ προθέσεως, ἐνίοτε καὶ ἐν ἑτέρᾳ συζυγίᾳ, οἷον ὤθω ἀφ᾽ οὗ καὶ ὦσεν, ἀπωθοῦμαι δέ ἕτερα ἐνεργητικῶς γραφόμενα, καὶ μετὰ προθέσεως, ἢ προσθήκης τινός, αὖθις ἐνεργητικῶς, ὅμως μεταπίπτοντα εἰς ἑτέραν συζυγίαν καὶ ἔννοιαν, οἷον δοκέω δοκῶ, προσδοκάω δὲ προσδοκῶ, μόλω, αὐτομολέω δὲ αὐτομολῶ, καὶ πολεμέω πολεμῶ, ἐκπολεμόω δὲ ἐκπολεμῶ, καὶ λέγω, εὐλογέω δὲ εὐλογῶ. ἐπὶ τῶν τοιούτων δὲ πάντων συμβαίνει τὰ μὲν ἑτέραν ἔννοιαν ἔχειν μετὰ τῶν προθέσεων, οἷον ὁρμῶ ἐγώ, ἐξορμῶ δὲ ἕτερον, ἤγουν παρακινῶ, τὰ δὲ τὴν αὐτήν, οἷον ἥκω καὶ ἀφικνοῦμαι. εἰσὶ δὲ ἕτερα, ἃ καὶ χωρὶς προθέσεως ἐν δυσὶ συζυγίαις λέγεται, ὅμως ἐν μὲν τῇ ἑτέρᾳ ἕτερόν τι δηλοῦσιν, ἐπὶ θατέρᾳ δὲ ἕτερον, οἷον κυκλέω κυκλῶ τὸ συστρέφω, κυκλόω δὲ κυκλῶ τὸ περιλαμβάνω, καὶ κυρέω κυρῶ τὸ περιτυγχάνω καὶ τὸ ὑπάρχω κατὰ τοὺς τραγικούς, κυρόω δὲ κυρῶ τὸ βεβαιῶ, ῥιγέω δὲ ῥιγῶ ποιητικῶς τὸ φοβοῦμαι, ὡσαύτως καὶ ῥιγόω ῥιγῶ ἐπὶ κρύους, καὶ θεάω θεῶ, ὃ παθητικῶς γράφεται θεῶμαι, τὸ βλέπω, θεέω δὲ τὸ θαυμάζω ποιητικῶς, ἀφ᾽ οὗ θηεῦντο, οὗ τὸ ἐντελὲς θεέοντο, καὶ τροπῇ τοῦ Ε εἰς Η, καὶ τοῦ Ε καὶ Ο εἰς ΕΥ δωρικῶς καὶ αἰολικῶς, καὶ ἀφαιρέσει τῆς αὐξήσεως ἰωνικῶς θηεῦντο.

1 καὶ om. h **5** δὲ post συμμαχέω om. h **9** προσθέσεως f θέσεως g **16** προθέσεων h

ται, ὅμως ἐν μὲν τῇ ἑτέρᾳ ἕτερόν τι δηλοῦσιν, ἐπὶ θατέρᾳ δὲ ἕτερον, οἶον κυκλέω κυκλῶ τὸ στρέφω, κυκλόω δὲ κυκλῶ τὸ περιλαμβάνω, καὶ κυρέω κυρῶ τὸ περιτυγχάνω καὶ τὸ ὑπάρχω κατὰ τοὺς τραγικούς, κυρόω δὲ κυρῶ τὸ βεβαιῶ, καὶ ῥιγέω ῥιγῶ ποιητικῶς τὸ φοβοῦμαι, ῥιγόω δὲ ῥιγῶ ἐπὶ κρύους, καὶ θεάω θεῶ, ὃ παθητικῶς γράφεται θεῶμαι, τὸ βλέπω, θεέω δὲ θεῶ τὸ θαυμάζω ποιητικῶς, ἀφ' οὗ τὸ θηεῦντο, οὗ τὸ ἐντελὲς ἐθεέοντο, καὶ τροπῇ τοῦ Ε εἰς Η, καὶ τοῦ Ε καὶ Ο εἰς ΕΥ δωρικῶς καὶ αἰολικῶς, καὶ ἀφαιρέσει τῆς αὐξήσεως ἰωνικῶς θηεῦντο. *fghq*

I 35 (p. 17, 6) ‹τὸ ἴχνος·› τὸν πόδα. L^1

I 35 (p. 17, 7) ‹πετήλοις·› φύλλοις. L^1T

I 38 (p. 18, 8) ‹πέξας·› κείρας. *T*

I 38 (p. 18, 9) ‹ὀδαξησμόν·› ὀδαξησμὸς κνησμὸς καὶ ὀδόντων τρισμός. L^1

I 39 (p. 18, 18) ‹τῆς πείρας·› τοῦ τέλους τῆς πράξεως. L^1T

I 40 (p. 18, 30) ‹τὸ λυποῦν·› τὸ ἄγκιστρον. *T*

I 42 (p. 19, 25) ‹ἀναγκαῖον·› χρήσιμον. L^1T

I 42 (p. 20, 2) ‹ὀξυτάτους·› χαράξας. *T*

I 43 (p. 20, 4) ‹ἀηδών·› καὶ ἡ ἀηδὼν ἐπικοίνου γένους ἐστί· mosch
γράφεται δὲ διὰ τοῦ Η, ἡ χελιδὼν δὲ διὰ τοῦ Ι. *fghq*

10 Et. Gud. s.v. ἴχνος, ὁδὸς, πόρος, βῆμα, ποῦς. **11** Ap. Soph. s.v. πέτηλα φύλλα, καὶ ὑψιπέτηλα τὴν εἰς ὕψος φύλλα ἔχουσαν. Su. π 1394 πέτηλον· τὸ φύλλον. [Zon.] s.v. πέτηλα· φύλλα δένδρων. ἀπὸ τοῦ πέτεσθαι. **12** Hsch. ε 1046 *εἰροπόκοις· ἔρια κειρόμενα ἔχουσι· πέκειν γὰρ τὸ ξαίνειν, κείρειν (Hom. Il. V 137). **13–14** Hsch. ο 65 *ὀδαξησμός· τρισμὸς ὀδόντων. δηγμός. κνησμός. Cyr. ο 8 Hag. ὀδαξισμός· τρισμὸς ὀδόντων. Syn. ο 29 ὀδαξησμός· κνησμὸς καὶ ὀδόντων τρισμός (Su. ο 29; Phot. ο 26). Cf. schol. V 14 (p. 109, 8) ad ὀδαξησμόν. **15** Schol. Soph. Ai. 470a πεῖρα· πρᾶξις, μηχανή. Schol. Thuc. IV 76, 5 ἡ πεῖρα· ἤγουν ἡ πρᾶξις. **17** Schol. Thuc. III 59, 3 ἀναγκαῖον· χρήσιμον. **19–20** Schol. Dion. Thr. p. 363, 22–26 τί ἐστιν ἐπίκοινον γένος; τὸ δι' ἑνὸς ἄρθρου, ἢ μόνου ἀρσενικοῦ ἢ μόνου θηλυκοῦ, σημαῖνον τὸ ἄρσεν καὶ θῆλυ, οἷον ὁ κόραξ, ὁ ἰχθῦς, ἡ περιστερά, ἡ ἀηδών. Hdn. ὀρθογρ. p. 604, 11–12 χελιδών διὰ τοῦ ι γράφεται. τὰ γὰρ εἰς δων λήγοντα θηλυκὰ ἑνὶ φωνήεντι θέλει παραλήγεσθαι.

1 ἐπὶ θατέρᾳ scripsi ἐπι θατέρα g q ἐπιθάτερα f ἐπὶ θάτερα h **2** ἅτερον g **7** ποιητικὸν q | ἐθεόοντο g ἐθέοντο h **12** κειρέσας T : correxi **17** χρήσιμο[ν] L^1 **19** ἡ ante ἀηδὼν om. f | ἐπὶ κοίνου g

mosch **I 43 (p. 20, 4)** ‹λιγυρωτάτη·› λύγος ὁ ἁπαλὸς κλάδος, ἀφ᾽ οὗ τὸ λυγίζειν ἐπὶ τῶν ὀρχουμένων, ψιλόν. λοιγὸς δὲ ὁ ὄλεθρος, ἀφ᾽ οὗ τὸ βροτολοιγός, δίφθογγον Ο καὶ Ι. λιγὺς δὲ ὁ ὀξὺς τὴν φωνήν, καὶ λιγεῖα φωνὴ καὶ λιγυρὸν μέλος, καὶ λιγυρωτάτη ὄρνις ἡ ὀξυφωνοτάτη, Ι. *fghq*

I 43 (p. 20, 4) ‹εὐνουστάτη·› a. πρὸς ἀνθρώπους δηλονότι. *T*

mosch b. ἡ εὔνοια ἀπὸ μικροτέρων προσώπων λέγεται πρὸς μείζονα, ἡ εὐμένεια δὲ ἀπὸ τῶν μειζόνων ἐπὶ τὰ μικρότερα. ἀπὸ μὲν οὖν τοῦ νοῦς καὶ τοῦ ΕΥ εὔνους καὶ εὐνούστερος καὶ εὐνούστατος· ἀπὸ δὲ τοῦ ΔΥΣ δύσνους μόνον, ἀφ᾽ οὗ δύσνοια, ὥσπερ καὶ ἔννους, ἀφ᾽ οὗ ἔννοια, καὶ σύννους ὁ ἐσκεμμένος, ἀφ᾽ οὗ σύννοια. ἀπὸ δὲ τῆς ΠΡΟ πρόνους μὲν οὐκ ἔστι, συγκριτικὸν δὲ προνούστερος παρὰ Σοφοκλεῖ (Ai. 119). *fghq*

mosch **I 43 (p. 20, 5)** ‹χωρίων·› χωρία οἱ ἄνετοι τόποι καὶ μὴ περιοριζόμενοι τείχει. *fghq*

I 43 (p. 20, 5) ‹εὐστομώτατα·› a. γλυκύτατα. *L¹T*

mosch b. τὸ στόμα καὶ ἡ γλῶττα καὶ τὰ χείλη ὄργανα εἰσὶ τῆς φωνῆς, ὅθεν ἀντὶ τῆς φωνῆς τούτοις χρώμεθα, ὡς τὸν πολύλογον λέγομεν μέγα στόμα ἔχειν καὶ πολλὴν γλῶτταν, καὶ «χείλη

1–5 Planud. Epim. pp. 74–75 Lindstam λύγος μὲν λέγεται ὁ ἁπαλὸς κλάδος, λιγὸς δὲ ὁ ὀξύφωνος. ἐξ οὗ καὶ λιγεῖα φωνή. καὶ λιγυρὸν μέλος. λοιγὸς δὲ ποιητικῶς ὁ ὄλεθρος. ἐξ οὗ καὶ βροτολοιγός. [Moschop.] Voc. Att. s.v. λύγος μὲν λέγεται ὁ ἁπαλὸς κλάδος. λιγὺς δὲ ὁ ὀξύφωνος. ἐξ οὗ καὶ λιγεῖα φωνή. καὶ λιγυρὸν μέλος. λοιγὸς δὲ ποιητικῶς ὁ ὄλεθρος. ἐξ οὗ καὶ βροτολοιγὸς Ἄρης. **7–13** Thom. Mag., Ecl. p. 162, 3–11 εὔνοια καὶ ἀπὸ τοῦ ἐλάττονος πρὸς μείζονα καὶ ἀπὸ τοῦ μείζονος πρὸς ἐλάττονα, εὐμένεια δὲ ἀεὶ ἀπὸ τοῦ μείζονος πρὸς ἐλάττονα· εὕρηται δὲ καὶ τὸ ἐναντίον. Schol. rec. Aristoph. Nub. 274 ὥσπερ εὐμένειαν μὲν δεσπότου πρὸς δοῦλον εἰώθαμεν λέγειν ἢ καθόλου μείζονος πρὸς ἐλάττω, εὔνοιαν δὲ δούλου πρὸς δεσπότην καὶ ἐλάττονος πρὸς μείζω, οὕτω οἶμαι δέον εἶναι τὸ μὲν ἐπακούειν μείζονος, τὸ δὲ ὑπακούειν ἐλάττονος. **17–55,3** Schol. Anth. Pal. IX 26, 1 p. 53 Luppino τὰ ὄργανα τοῦ λόγου, ἤγουν ἡ γλώττα, τὰ χείλη καὶ τὸ στόμα, ἀντὶ τῶν λόγων λαμβάνεται καὶ παρὰ ποιηταῖς καὶ λογογράφοις. ὡς παρὰ Σοφοκλεῖ (El. 596)· «πᾶσαν γλῶσσαν ἱείς», ἤγουν πάντα λόγον. καὶ παρὰ τῇ Θείᾳ Γραφῇ (Psalm. XI 3, 2)· «χείλη δόλια», οἱ δόλιοι λόγοι, καὶ θρασυστομεῖν, τὸ θρασεῖς λόγους λέγειν.

2 λιγύζειν h | οἰγὸς δὲ q **4–5** καὶ ὀξυφωνοτάτη g **8** μικρότατα q **11** σύνους q | σύνοια q **17** γλῶσσα (ττ s.l.) g **18** τὸ f^a.c.^ h q **19** καὶ ante μέγα add. h

δόλια» (Psalm. XI 3, 2) τοὺς δολίους λόγους· κατὰ τοῦτο λέγεται ἐνταῦθα τὸ εὐστομώτατα ἐπὶ τῆς ἀηδόνος, ἤγουν εὐφωνότατα. *fghq*

I 43 (p. 20, 5–6) ‹τορώτατα·› a. ὑψηλὰ καὶ ἐξάκουστα. *L*[1]

b. τορὸν τὸ ὑψηλὸν ἐπὶ φωνῆς, ὃ καὶ διάτορον λέγεται, ἀφ' οὗ διάκτορος ὁ Ἑρμῆς ὡς κήρυξ τῶν θεῶν, πλεονασμῷ τοῦ Κ, ὃς καὶ Ἀργειφόντης λέγεται ὡς τὸν Ἄργον τὸν πανόπτην φονεύσας, τὸν τῆς Ἰνοῦς φύλακα, ὃ γίνεται Ἀργοφόντης καὶ τροπῇ τοῦ Ο εἰς τὴν ΕΙ δίφθογγον ποιητικῶς Ἀργειφόντης. *fghq* mosch

I 43 (p. 20, 6) ‹λέγουσι·› λέγω ἀφ' οὗ λόγος· λέγειν δὲ ποιητικῶς τὸ κοινῶς συλλέγειν, ἀφ' οὗ σύλλογος. ἰστέον δὲ ὅτι λαμβάνει προθέσεις· πῇ μὲν κατὰ τὴν τοῦ συλλέγειν σημασίαν, πῇ δὲ κατὰ τὴν τοῦ λέγειν, οἷον ἐκλέγειν μὲν τὸ διαιρεῖν τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, προλέγειν δὲ τὸ πρότερον λέγειν, ὅθεν τὸ προλογίζειν. μετὰ τῆς ΑΝΑ ἀνάλογον ὄνομα καὶ ἀναλογία ἐπὶ τῶν mosch

4 Arist. Quint. Mus. I 20 στοιχεῖον μὲν οὖν ἐστι φωνῆς ἐνάρθρου μέρος ἐλάχιστον· τῶν δὲ στοιχείων τὰ μὲν τορὸν καὶ ἐξάκουστον προϊέντα τὸν ἦχον φωνήεντα λέγεται, τὰ δὲ ἀμυδρῶς τῆς ἀκοῆς καθικνούμενα ἡμίφωνα. **5–9** Et. Gud. s.v. διάκτορος· πλεονασμῷ τοῦ κ, διάτορος γάρ. Eust. in Il. v. 1 p. 279, 21–25 ἡ μέντοι ἀλληγορία Ἑρμῆν τὸν λόγον νοοῦσα καὶ ἐκ τοῦ ἑρμηνεύειν αὐτὸν ἐτυμολογεῖ ὡς ἑρμηνεύοντα τὰ τῆς ψυχῆς βουλήματα καὶ ἐξαγγέλλοντα, ὅθεν καὶ διάκτορον αὐτὸν καλεῖ οἷα τορῶς, ὅ ἐστι σαφῶς, ὡς προείρηται, αὐτὰ προάγοντα. τὸν δ' αὐτὸν καὶ Ἀργεϊφόντην ἐπονομάζει ὡς ἀργὸν φόνου· εἰρηνικὸν γὰρ ὁ λόγος. p. 280, 26–30 Ἑρμῆς δὲ δόλῳ τὸν Ἄργον καταγωνίζεται Διὸς ἀξιώσαντος καί, ἐπεὶ λαθραίως οὐκ εἶχεν αὐτὸν ἀνελεῖν, λίθῳ βαλὼν πεφόνευκε. κἀντεῦθεν Ἀργεϊφόντης λέγεται, οἷον Ἀργοφόντης, καὶ τροπῇ τοῦ ο εἰς ε καὶ πλεονασμῷ διχρόνου Ἀργεϊφόντης, ὥσπερ καὶ ἀνδροφόντης ἀνδρεφόντης καὶ κατὰ πλεονασμὸν ἀνδρεϊφόντης. in Od. v. 1 p. 22, 39–40 οὕτω καὶ διάκτωρ διάκτορος ὁ διάκτορος. ἕτεροι δὲ, διάτορόν φασι καὶ πλεονασμῷ τοῦ κ διάκτορον, ἤτοι τορὸν καὶ σαφῆ ἄγγελον. περὶ δὲ ἀργειφόντου δεδήλωται ἀλλαχοῦ. Moschop. Comm. Hes. Op. 68 διάκτορος, ὁ μεγαλόφωνος. πλεονάζει δὲ ἐν αὐτῷ τὸ κ, ὥσπερ ἐν τῷ ἀλυκτοπέδη. τὸ μὲν γὰρ ἀπὸ τοῦ διάτορον, ὃ λέγεται ἐπὶ φωνῆς ἐντόνου καὶ ἰσχυρᾶς, τὸ δὲ ἀπὸ τοῦ ἄλυτος καὶ τοῦ πέδη. Ἀργειφόντης δέ, ὡς τὸν Ἄργον τὸν πανόπτην φονεύσας τὸν τῆς Ἰοῦς φύλακα· γίνεται οὖν Ἀργοφόντης, εἶτα ποιητικῶς Ἀργειφόντης.

2–3 εὐφωνότατα f h q   εὐτονότατα g   **5** καὶ om. g   **8** ἀργιφόντης g ἀργειφόντης h   **8–9** καὶ τροπῇ – ἀργειφόντης om. h   **9** ποιητικὸν f **14** χείρωνος g h | πρότερεον f

ἐχόντων τινὰ λόγον πρὸς ἕτερον καὶ ἀναφερομένων πρὸς ἐκεῖνα. μετὰ τῆς ΚΑΤΑ καταλέγειν τὸ ἀπαριθμεῖν, ἀφ᾽ οὗ κατάλογος ἡ ἀπαρίθμησις. μετὰ τῆς ΔΙΑ διαλέγεσθαι, ἀφ᾽ οὗ διαλογὴ παρὰ τοῖς Ἀλεξανδρεῦσι, καὶ διάλεξις παρ᾽ Ἕλλησι, καὶ διάλογος· καὶ διαλογικὸς χαρακτὴρ ὁ πρόσωπα ἔχων διαλεγόμενα. μετὰ τῆς ΑΝΤΙ ἀντιλέγειν, ἀφ᾽ οὗ ἀντιλογία· μετὰ τῆς ΑΜΦΙ ἀμφίλογον τὸ ἀμφίβολον, ᾧ ἐναντίον τὸ σαφές. μετὰ τῆς ΕΠΙ ἐπιλέγειν τὸ δευτερολογεῖν, ὅθεν ἐπίλογοι· ἐπίλεκτοι δὲ στρατιῶται οἱ ἐκλεκτοὶ ἀπὸ τῆς ἑτέρας σημασίας. μετὰ τῆς ΠΑΡΑ τὸ παραλογίζεσθαι καὶ τὸ παράλογον κατὰ παραγωγήν, ὥσπερ τὸ συλλογίζεσθαι καὶ ἀναλογίζεσθαι καὶ διαλογίζεσθαι καὶ ὑπολογίζεσθαι. μετὰ τῆς ΑΠΟ ἀπολέγεσθαι τὸ ἀπαγορεύειν. *fghq*

mosch **I 43 (p. 20, 6)** λυσιτελεῖν· ἀπὸ τοῦ λύειν τὰ τέλη. *fghq*

mosch **I 43 (p. 20, 7)** ‹δαιτυμόνες·› ἑστιάτωρ ὁ τρέφων, δαιτυμόνες οἱ τρεφόμενοι. *fghq*

mosch **I 43 (p. 20, 7)** ‹ἀμαθεῖς·› ἀμαθὴς κοινόν, ἀδαὴς ποιητικόν, τὸ αὐτὸ καὶ ἄϊδρις. *fghq*

mosch **I 43 (p. 20, 8)** ‹δεινῶς·› δεινὸν τὸ χαλεπὸν καὶ ἐπιτήδειον καὶ

13 Phot. λ 440 λύειν τέλη· λυσιτελεῖν. Planud. Dial. Gramm. p. 53, 21–24 τὰ σύνθετα διαλύουσιν· οἱ ποιηταί, ἀναστρέφοντες καὶ τὰς λέξεις. Εὐριπίδης γὰρ τὸ χαριτογλωττεῖν «γλώσσῃ χαρίζῃ» (Or. 1514) καὶ Σοφοκλῆς τὸ λυσιτελεῖν «ἔνθα μὴ τέλη λύει» (Oed. tyr. 316–317) φησίν. Schol. Soph. Oed. tyr. 316 μὴ τέλη λύει, ἤγουν λυσιτελεῖ. 316–317 τὸ λυσιτελεῖν ἀπὸ τοῦ τέλη λύειν παράγεται. **14–15** Ptol. Diff. voc. p. 388, 8–9 Heylbut ἑστιάτωρ μέν ἐστιν ὁ ἑστιῶν, δαιτυμὼν δὲ ὁ ἑστιώμενος καθὰ Πλάτων (Resp. 345c et al.). Ammon. 194 ἑστιάτωρ καὶ δαιτυμὼν διαφέρει. ἑστιάτωρ μὲν γὰρ ὁ ὑποδοχεύς, δαιτυμόνες δὲ οἱ ἑστιώμενοι. **16–17** Ptol. Diff. voc. α 4 Palmieri ἀδεὴς καὶ ἀδαὴς διαφέρει. ἀδεὴς μὲν γὰρ ὁ ἄφοβος, ἀδαὴς δὲ ὁ ἀμαθής. Ammon. 12 ἀδεὴς καὶ ἀδαὴς διαφέρει. διὰ μὲν γὰρ τοῦ ε ὁ ἄφοβος, διὰ δὲ τοῦ α ὁ ἀμαθής. Phot. α 545 ἄϊδρις· ἀμαθής. Αἰσχύλος Ἀγαμέμνονι (1105)· «τούτων ἄϊδρίς εἰμι τῶν μαντευμάτων». Su. α 678 ἄϊδρις· ἀμαθής, ἄπειρος. **18–57,2** [Moschop.] Voc. Att. s.v. δεινὸς ὁ χαλεπὸς ἀπὸ τοῦ δέος ὁ φόβος. δεινὸς ὁ ἐπιτήδειος ἀπὸ τοῦ δέον τὸ πρέπον. Moschop. Sched. p. 104 δεινὸς ὁ χαλεπὸς ἀπὸ τοῦ δέος ὁ φόβος. καὶ δεινὸς ὁ ἐπιτήδειος καὶ εὐφυής, ἀπὸ τοῦ δέον τὸ πρέπον. Schol. Eur. Hec. 198 (ed. Dindorf) δεινὸν τὸ χαλεπὸν ἀπὸ τοῦ δέος ὁ φόβος· δεινὸν τὸ ἐπιτήδειον ἀπὸ τοῦ δέον τὸ πρέπον.

4 διάλογοι g q **5** διαλογιστικὸς q **18** καὶ δεινὸν τὸ ἐπιτήδειον h

μέγα καὶ φοβερόν. τὰ μὲν ἀπὸ τοῦ δέος ὁ φόβος, τὰ δὲ ἀπὸ τοῦ δέον τὸ πρέπον. *fghq*

I 43 (p. 20, 8) ‹φυγή·› ἀπὸ τοῦ φεύγω φυγή, ὅθεν καὶ φύξιλις ποιητικῶς, ὃ κοινῶς λέγεται δειλός· τὸ μὲν ἀπὸ τοῦ φεύγειν τὰς ἴλας, τὸ δὲ ἀπὸ τοῦ δεδιέναι αὐτάς. ἐναντία τούτοις ποιητικῶς μὲν τὸ ἐσθλὸς ὁ ἐθελοντὴς δηλαδὴ μαχόμενος, κοινῶς δὲ τὸ ἀνδρεῖος. *fghq* mosch

I 44 (p. 20, 12) ‹τεκμηριῶσαι·› διὰ τεκμηρίων σημειώσασθαι. *L¹T*

I 44 (p. 20, 12) ‹φυλάξαντες·› παρατηρήσαντες. *L¹*

I 45 (p. 20, 20) ‹κατ᾽ αὐτοῦ·› a. ἐπάνω. *L¹*
b. ἐπ᾽ αὐτοῦ. *T*

I 46 (p. 20, 24) ‹μονίαι·› μεμονωμένοι. *L¹*

I 46 (p. 21, 2) ‹κυκλόσε·› εἰς κύκλον. *L¹*

I 47 (p. 21, 13) παραχναῦσαι· παραπολαῦσαι. *FHz*

I 48 (p. 21, 19) ‹ὀττεύονται·› ὄττα ἡ φήμη καὶ ἡ μαντεία καὶ ὀττεύομαι τὸ μαντεύομαι. *L¹T*

3–7 Et. Gud. s.v. φύξιλις, ὁ φυγάς, ἄνανδρος, παρὰ τὸ φεύγειν τὰς ἰλάς, ἤγουν τὰς συστροφὰς τοῦ πολέμου. Schol. Anth. Pal. X 33, 1 p. 38 Luppino ἐσθλὸς ὁ ἐθελοντὴς μαχόμενος, ἤγουν ὁ ἀνδρεῖος. ᾧ ἐναντίον ὁ δειλός. ἀπὸ τούτου ἐσθλὰ τὰ ἀγαθά. [Moschop.] Voc. Att. s.v. ἐσθλὸς ὁ ἐθελοντὴς μαχόμενος, ἤγουν ὁ ἀνδρεῖος, ᾧ ἐναντίον τὸ δειλός, ἀπὸ τούτου ἐσθλὸς ὁ ἀγαθὸς τοὺς τρόπους, καὶ ἐσθλὰ τὰ ἀγαθά. **16–17** Su. ο 726 ὄττα· φήμη, μαντεία, θεία κληδών. καὶ ὀττεύεσθαι, τὸ μαντεύεσθαι. Phot. ο 598 ὄττα· φήμη· μαντεία διὰ κληδόνος· καὶ ὀττεύεσθαι· τὸ μαντεύεσθαι. Cf. schol. VIII 10 (p. 198, 5) ad ἐν τῇ Ὄσσῃ.

1 τὸ μὲν h **3** φύξηλις intelligendum φίλιξις f **4–5** ὃ κοινὸς – ποιητικῶς om. h **6** ἐσθλὸς ποιητικῶς h **15** lemma om. F H

mosch **I 49 (p. 21, 26)** μέροψ· ὄνομα ὀρνέου, καὶ μέροψ ὁ ἄνθρωπος ποιητικῶς, ὃ γίνεται ἀπὸ τοῦ μεμερισμένην ἔχειν τὴν ὄπα. *fghq*

mosch **I 49 (p. 21, 26)** ‹ὄρνεον·› ὄρνις καὶ ὄρνεον καθολικὸν ὄνομα, καὶ λέγεται ἐπὶ πάντων τῶν πτηνῶν· λέγονται δὲ ὄρνιθες ἰδίως καὶ αἱ εἰς μαντείαν συντελοῦσαι, καὶ ἀπὸ τούτου καὶ ἡ μαντεία, ὡς τὸ «δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ» (Aristoph. Plut. 63). *fghq*

plan **I 49 (p. 21, 26)** ‹ἔμπαλιν·› a. ἀντιστρόφως. *hmnqsy*

mosch b. ἔμπαλιν ἐπίρρημα ἀντὶ τοῦ ἀντιστρόφως, γράφεται δὲ καὶ χωρὶς τοῦ **Ν** ποιητικῶς διὰ τὰ μέτρα. *fghq*

mosch **I 49 (p. 21, 26)** ‹φασι·› ἀπὸ τοῦ φημὶ τὸ λέγω γίνεται φήμη, καὶ λαμβάνεται ἐπὶ τῆς θείας κληδόνος, καὶ ἐπὶ τῆς ἀνθρωπίνης διαλαλήσεως· ὄσσα δὲ καὶ ὀμφὴ καὶ κληδὼν ταὐτὸν καὶ ἐπὶ μόνης τῆς θείας φωνῆς λαμβάνονται, καὶ ἄγγελοι τῶν θεῶν λέγονται. *fghq*

plan **I 49 (p. 21, 26)** ‹ἅπασι·› πτηνοῖς δηλονότι. *hmnqsy*

1–2 Ap. Soph. s.v. μερόπων τῶν ἀνθρώπων τῶν μεμερισμένην τὴν ὄπα ἐχόντων, ἔναρθρον, παρὰ τὰ ἄλλα ζῷα. Hsch. λ 291 λαοί· ὄχλοι, δῆμοι. δύνανται δὲ οὕτως εἰρῆσθαι ἄνθρωποι διὰ τὸ εἶναι λάλοι. ἔνθεν καὶ μέροπες, ἀπὸ τοῦ μεμερισμένην ἔχειν τὴν ὄπα, ὅ ἐστι φωνή (Hom. Il. I 10). μ 886 μέροπες· *ἄνθρωποι· διὰ τὸ μεμερισμένην ἔχειν τὴν ὄπα, ἤγουν τὴν φωνήν (Hom. Il. II 285). Cyr. μ 116 Hag. μέροπες· οἱ ἄνθρωποι. Syn. μ 129 μέροπες· οἱ ἄνθρωποι, παρὰ τὸ μεμερισμένην ἔχειν τὴν ὄπα ἤτοι τὴν φωνήν (Su. μ 643; Phot. μ 289). Schol. Opp. Hal. I 157 μέροψ ὁ καθόλου ἄνθρωπος ἀπὸ τοῦ τὴν ὄπα καὶ φωνὴν μεμερισμένην ἔχειν· μέροψ καὶ τὸ ὄρνεον, ὅπερ, ὥς φησιν Αἰλιανὸς (NA I 49), «εἰς τοὐπίσω» ἵπταται, ἐστὶ δ᾽ ὁ φλῶρος. [Moschop.] Voc. Att. s.v. μέροψ ὄνομα ὀρνέου, καὶ μέροψ ὁ ἄνθρωπος ποιητικῶς, ὃ γίνεται ἀπὸ τοῦ μεμερισμένην ἔχειν τὴν ὄπα. **3–7** Cf. schol. I 1 **(p. 2, 7)** ad τῶν ὀρνίθων. **8–10** Cf. schol. X 18 (p. 241, 7) ad ἔμπαλιν. **11–15** Porph. Quaest. Hom. (rec. V) 100 Sodano ἤδη δὲ καὶ τὴν κληδόνα φήμην που εἴρηκε (Od. XX 105)· «φήμην δ᾽ ἐξ οἴκοιο γυνὴ προέηκεν ἀλετρίς». ὥστε ὄσσα μὲν καὶ ὀμφὴ καὶ κληδὼν ἐπὶ τοῦ αὐτοῦ, φήμη δὲ ἐπὶ τῆς θείας κληδόνος καὶ τῆς ἀνθρωπίνης διαλαλήσεως. Hsch. ο 844 *ὀμφή· φήμη θεία. κληδὼν θεία. φωνή. δόξα. πνοή. ὀνείρου φαντάσματα (Hom. Il. II 41). Cyr. ο 446 Hag. ὀμφή· θεία φωνή. 168 Hag. ὀμφήν· κλήδονα· φήμην θείαν· ἢ ὀνείρου φαντασίαν.

1 ὁ μέροψ ὄρνεον καὶ μέροψ ὁ ἄνθρωπος q **8** [ἀντι]στρόφως n **10** καὶ om. f **12** εὐθείας κληδόνος g **13** διαλαλήσεως g h q διαλύσεως f **13–14** ἐπὶ τῆς θείας μόνης φωνῆς h **16** δηλονότι om. n s y

I 49 (p. 21, 27) ‹τὰ μέν·› τὰ ἄλλα πτηνά. *y* plan

I 49 (p. 21, 27) ‹εἰς τοὔμπροσθεν·› a. μέρος δηλονότι. *hmq* plan

b. τὸ ἔμπροσθεν ὃ καὶ πρόσθεν λέγεται ποιητικῶς εἰ μὲν ἐπὶ χρόνου λαμβάνεται καὶ ἐπὶ τοῦ παρεληλυθότος λέγεται καὶ ἐπὶ τοῦ μέλλοντος, ὡς καὶ τὸ ὀπίσω ὃ καὶ ὄπισθεν λέγεται. εἰ δὲ ἐπὶ τόπου τὸ μὲν ὀπίσω ἐπὶ τοῦ τόπου ὃν διῆλθέ τις λαμβάνεται μόνον, τὸ δὲ ἔμπροσθεν ἐπὶ τοῦ τόπου ὃν ἤδη ἔρχεται. *fghq* mosch

I 49 (p. 21, 27) ‹ἵεται·› a. τὴν ὁρμὴν ποιεῖται. *hmnqs* plan

b. πορεύεται. *y* plan

c. ἵημι τὸ πέμπω ὅπερ μετὰ προθέσεως ἀεὶ γράφεται, ἵεμαι δὲ τὸ ὁρμῶ. *fghq* mosch

I 49 (p. 21, 27) ‹κατ᾽ ὀφθαλμούς·› κατὰ τὸ μέρος ἔνθα εἰσὶν οἱ ὀφθαλμοί. *hmqy* plan

I 49 (p. 21, 27–28) ‹τὸ δὲ εἰς τοὐπίσω·› ὁ μέροψ πορεύεται. *y* plan

I 49 (p. 21, 28) ‹εἰς τοὐπίσω·› μέρος δηλονότι. *hmnsq* plan

I 49 (p. 21, 28) ‹ἔπεισι·› ἐπέρχεται. *hmnqsy* plan

I 49 (p. 21, 28) ‹θαυμάζειν·› ἐκπλήττεσθαι. *y* plan

I 49 (p. 21, 28) ‹ἐπισήμου·› a. ἐπίσημον τὸ ἔχον σημεῖόν τι, ὃ χωρίζει αὐτὸ ἀπὸ τῶν ἄλλων. *hmy* plan

b. ἐξαιρέτου. *hmnqsy* plan

I 49 (p. 21, 29) ‹παραδόξου·› παράδοξον ὅπερ οὐκ ἂν προσεδόκησέ τις· δηλοῖ δὲ ἡ ΠΑΡΑ ἐνταῦθα τὸ ἔξω. δηλοῖ γὰρ αὕτη καὶ mosch

3–7 Moschop. Comm. Hes. Op. 474 εἰ τέλος αὐτὸς ὄπισθεν κατὰ μὲν τὴν κίνησιν ἡμῶν, τὸ μὲν παρεληλυθὸς καὶ ἔστι καὶ λέγεται ὄπισθεν, τὸ δὲ μέλλον ἔμπροσθεν. κατὰ δὲ τὴν τοῦ χρόνου κίνησιν τὸ ἀνάπαλιν, τὸ μὲν παρεληλυθὸς καὶ ἔστι καὶ λέγεται ἔμπροσθεν, τὸ δὲ μέλλον ὄπισθεν, καθ᾽ ὃ σημαινόμενον ἐνταῦθα τὸ ὄπισθεν λέγεται. Schol. Eur. Hec. 514 (ed. Dindorf) οἱ Ἀττικοὶ τὸ μὲν παρεληλυθὸς καλοῦσιν ἔμπροσθεν, τὸ δὲ μέλλον ὀπίσω, ἀπὸ μεταφορᾶς τῆς βαδίσεως τῶν ζώων, προτιθεμένων τῶν ἐμπροσθίων ποδῶν εἴτε παρεληλυθότων, καὶ μετερχομένων τῶν ὄπισθεν ἤτοι μελλόντων. **10–11** [Moschop.] Voc. Att. s.v. ἵημι ἐνεργητικῶς τὸ πέμπω, ὅπερ δίχα προθέσεως οὐχ εὕρηται ἐν χρήσει κατὰ τοὺς ποιητάς, ἀφίημι γὰρ φαμὲν καὶ παρίημι. ἵεμαι δὲ παθητικῶς τὸ ὁρμῶ. **19–20** Schol. Thuc. II 13, 3 ἐπισήμου· οἷον σημεῖον ἔχοντος βασιλικόν. **23** Et. Gud. s.v. παρὰ θῖνα· ἡ παρὰ τὸ ἔξω δηλοῖ, ὥσπερ καὶ παραπλεῖν τὸ ἔξω πλεῖν.

6 εἰς ὃν g h **7** μόνου h | εἰς ὃν h q **10** γράφεται ἀεί h **19** λέγεται post ἐπίσημον add. y **21** τῆς ἐξαιρέτου q

τὸ ἔξω καὶ ἐλάττωσιν, ὡς ἐν τῷ παραπολύ, καὶ τὸ παράλογον, ὡς ἐν τῷ παραδιδόναι. *fghq*

mosch **I 49 (p. 21, 29)** ‹ἀήθους·› ἦθος ὁ τρόπος, ἔθος δὲ ἡ συνήθεια, καὶ ἀπὸ μὲν τοῦ ἔθους ἐθὰς καὶ ἠθὰς παρὰ Σοφοκλεῖ (El. 372). ἀπὸ δὲ τοῦ ἤθους μετὰ τῆς ΣΥΝ προθέσεως συνήθης ταὐτὸν τῷ ἐθάδι, ὃ δὴ μεθ' ἑτέρας προσθέσεως ἀποβάλλει τὴν πρόθεσιν, καὶ δηλοῖ πάλιν ἐκεῖνο ὃ μετὰ τῆς προθέσεως ἐδήλου, οἷον ἀήθης ὁ μὴ συνήθης, καὶ χειροήθης ὁ συνήθης ταῖς χερσί. *fghq*

plan **I 49 (p. 21, 29)** ‹φορᾶς·› a. τῆς κινήσεως. *hmnqsy*

mosch b. φορὰ ἐπὶ τοπικῆς κινήσεως, καὶ φορὰ ἐπὶ εὐφορίας, οἷον

3 Hsch. τ 1501 *τρόπος· ἦθος. γνώμη, προαίρεσις. Cyr. τ 277 Hag. τρόπον· ἦθος. **9** Hsch. φ 744 φοράν· τὸ φέρεσθαι, τὴν ὁρμήν, κίνησιν. **10–62,2** [Moschop.] Voc. Att. s.v. φορὰ ἡ κίνησις, καὶ φορὰ ἡ εὐφορία, οἷον φορὰ σίτου, καὶ φορὰ ῥητόρων. γίνεται δὲ ἀπὸ τοῦ φέρειν, ὃ ποιητικῶς λέγεται φορέειν. ὃ μετὰ μὲν τῆς ΕΝ προθέσεως οὐ λέγεται, ὄνομα δὲ ἀπ' αὐτοῦ ὁ ἐμφερής. μετὰ δὲ τῆς ΕΙΣ λέγεται εἰσφέρειν, καὶ δηλοῖ τὸ κατὰ μοῖραν καὶ νόμους διδόναι. μετὰ δὲ τῆς ΕΚ ἐκφέρειν ὃ λαμβ άνεται ἐπὶ προφορᾶς λόγου καὶ ἐπὶ τῆς ἔξω τοῦ πρέποντος φορᾶς καὶ ἐπὶ νεκροῦ. μετὰ δὲ τῆς ΣΥΝ συμφεροῦν, ἀφ' οὗ τὸ συμφέρον. ὃ τέλος ἐστὶ τοῦ συμβουλευτικοῦ μέρους τῆς ῥητορικῆς καὶ ἡ συμφορά. μετὰ δὲ τῆς ΠΡΟΣ προσφέρειν τὸ δῶρά τινι φέρειν, οἷον προσφέρω σοι ὕμνον. μετὰ δὲ τῆς ΠΡΟ προφέρειν τὸ ὑβρίζειν καὶ τὸ προτείνειν. μετὰ δὲ τῆς ΑΝΑ ἀναφέρειν τὸ εἰς μεῖζον πρόσωπον ἀναφέρειν τὸν λόγον. καὶ μετὰ τῆς ΚΑΤΑ καταφέρειν, ἀφ' οὗ καταφορά, ἡ κατηγορία. μετὰ δὲ τῆς ΔΙΑ διαφέρειν τὸ διαφορὰν ἔχειν, καὶ συντάσσεται ἀπὸ αἰτιατικῆς εἰς δοτικήν, καὶ τὸ ὑπομένειν, ὃ καὶ μετὰ τῆς ΣΥΝ λέγεται, καὶ δηλοῖ τὸ μετά τινος ὑπομένειν, καὶ τὸ ἐπιτηδείως ἔχειν καὶ φιλικῶς πρός τινα, οἷον ὁ σπουδαῖος ὀφείλει προνοεῖσθαι καὶ ἑαυτοῦ καὶ τῶν διαφερόντων αὐτῷ. ἀπὸ τούτου διαφορὰ καὶ διάφορος ἐπὶ τοῦ ἐχθρωδῶς διακεῖσθαι πρός τινα, καὶ ἐπὶ τοῦ διαφορὰν ἔχειν. καὶ μετὰ τῆς ΜΕΤΑ μεταφέρειν καὶ μεταφορά, τὸ μετατιθέναι ἐφ' ἕτερον τὴν ἁρμόζουσαν λέξιν ἐφ' ἑτέρῳ. καὶ μετὰ τῆς ΠΑΡΑ παραφέρειν καὶ παράφορος ὁ παραπαίων. καὶ μετὰ τῆς ΑΝΤΙ ἀντιφέρεσθαι τὸ ἐναντιοῦσθαι, ὃ ποιητικῶς λέγεται ἀντιφερίζειν. καὶ μετὰ τῆς ΕΠΙ ἐπιφέρειν καὶ ἐπιφορά, καὶ ἐπίφορον πνεῦμα, τὸ ἐπιτήδειον καὶ ἁρμόζον τοῖς πλέουσι. καὶ μετὰ τῆς ΠΕΡΙ περιφέρειν καὶ περιφορὰ ἐπὶ τῆς κύκλῳ φορᾶς. καὶ μετὰ τῆς ΑΠΟ παθητικῶς ἀποφέρεσθαι τὸ ἀπολαβόντα ἆθλον ἤ τι τοιοῦτον ἀπιέναι. καὶ μετὰ τῆς ΥΠΟ ὑποφέρειν τὸ ὑπομένειν. ἀπὸ τοῦ φέρειν φέρτερος ὁ καρτερικώτερος ποιητικῶς, ὁ μᾶλλον δηλαδὴ φέρει δυνάμενος τὰ

6 καὶ ante μεθ' ἑτέρας add. f | προθέσεως f h **9** τῆς om. n q s y **10** τονικῆς f g q | καὶ ante φορὰ om. h | ἐπὶ ἀφορίας g

φορὰ σίτου καὶ φορὰ ῥητόρων. γίνεται δὲ ἀπὸ τοῦ φέρειν, ὃ ποιητικῶς λέγεται φορέειν, ὃ μετὰ μὲν τῆς ΕΝ προθέσεως οὐ λέγεται· ὄνομα δὲ ἀπ᾽ αὐτοῦ ὁ ἐμφερής. μετὰ δὲ τῆς ΕΙΣ λέγεται εἰσφέρειν, καὶ δηλοῖ τὸ κατὰ νόμους διδόναι· διττὴ γὰρ ἡ δόσις, ἡ μὲν ἑκούσιος ἐφ᾽ ἧς λέγεται ῥῆμα τὸ χορηγεῖν, ἡ δὲ κατὰ νόμους, ἐφ᾽ ἧς λέγεται τὸ εἰσφέρειν. μετὰ δὲ τῆς ΕΚ ἐκφέρειν ὃ λαμβάνεται ἐπὶ προφορᾶς λόγου καὶ ἐπὶ τῆς ἔξω τοῦ πρέποντος φορᾶς καὶ ἐπὶ νεκροῦ, ὅθεν ἐκφορὰ κυρίως ἐπὶ νεκροῦ τὸ κοινῶς λεγόμενον ἐξόδιον. μετὰ δὲ τῆς ΣΥΝ συμφέρειν, ἀφ᾽ οὗ τὸ συμφέρον, ὃ τέλος ἐστὶ τοῦ συμβουλευτικοῦ μέρους τῆς ῥητορικῆς, καὶ ἡ συμφορά. μετὰ δὲ τῆς ΠΡΟ προφέρειν τὸ ὑβρίζειν καὶ τὸ προτείνειν. μετὰ δὲ τῆς ΑΝΑ ἀναφέρειν τὸ εἰς μεῖζον πρόσωπον ἀναφέρειν τὸν λόγον, καὶ μετὰ τῆς ΚΑΤΑ καταφέρειν, ἀφ᾽ οὗ καταφορά, ἡ κατηγορία. μετὰ δὲ τῆς ΔΙΑ διαφέρειν, τὸ διαφορὰν ἔχειν, καὶ συντάσσεται ἀπὸ γενικῆς εἰς δοτικήν, καὶ τὸ ὑπομένειν, ὃ καὶ μετὰ τῆς ΣΥΝ λέγεται, καὶ δηλοῖ τὸ μετά τινος ὑπομένειν, ὡς τὸ «συνδιαφέρειν τὰς ἐκκλησιαστικὰς φροντίδας» (Greg. Naz. Or. XLII 20), καὶ τὸ ἐπιτηδείως ἔχειν καὶ φιλικῶς πρός τινα, οἷον ὁ σπουδαῖος ὀφείλει προνοεῖσθαι καὶ ἑαυτοῦ καὶ τῶν διαφερόντων αὐτῷ. ἀπὸ τούτου διαφορὰ καὶ διάφορος ἐπὶ τοῦ ἐχθρωδῶς διακεῖσθαι πρός τινα, καὶ ἐπὶ τοῦ διαφορὰν ἔχειν. μετὰ τῆς ΜΕΤΑ μεταφέρειν καὶ μεταφορά, τὸ μετατιθέναι ἐφ᾽ ἕτερον τὴν ἁρμόζουσαν λέξιν ἐφ᾽ ἑτέρῳ. μετὰ τῆς ΠΑΡΑ παραφέρειν καὶ παράφορος, ὁ παραπαίων. μετὰ τῆς ΑΝΤΙ ἀντιφέρεσθαι, τὸ ἐναντιοῦσθαι, ὃ ποιητικῶς λέγεται ἀντιφερίζειν. μετὰ τῆς ΕΠΙ ἐπιφέρειν καὶ ἐπιφορά, καὶ ἐπίφορον πνεῦμα τὸ ἐπιτήδειον καὶ ἁρμόζον τοῖς πλέουσι. μετὰ τῆς ΠΕΡΙ περιφέρειν καὶ περιφορὰ ἐπὶ τῆς κύκλῳ φορᾶς. μετὰ τῆς ΑΠΟ παθητικῶς ἀποφέρεσθαι, τὸ ἀπολαβόντα ἆθλον ἤ τι τοιοῦτον ἀπιέναι. καὶ μετὰ τῆς ΥΠΟ ὑποφέρειν, τὸ ὑπομένειν. ἀπὸ τοῦ φέρειν φέρτερος ὁ καρτερικώτερος ποιητικῶς, ὁ μᾶλλον

προσπίπτοντα· καὶ φέριστος ὑπερθετικόν, καὶ ἰσοφαρίζειν καὶ ἰσοφορὰ ποιητικῶς. s.v. εἰσφέρειν ἐστὶ τὸ κατὰ νόμους διδόναι· χωρηγεῖν δὲ τὸ ἀφ᾽ ἑαυτοῦ τινα διδόναι.

2 μὲν om. h **5** ἐφ᾽ ἧς[1] ἀφ᾽ ἧς h **5–6** ἐφ᾽ ἧς[2] ἀφ᾽ ἧς h **18** ἔχει f **18–19** σπονδαῖος g **20** ἐχθροδῶς q

δηλαδὴ φέρειν δυνάμενος τὰ προσπίπτοντα, καὶ φέριστος ὑπερθετικόν, καὶ ἰσοφαρίζειν καὶ ἰσοφόροι ποιητικῶς. *fghq*

mosch **I 52 (p. 22, 16)** ‹ἆρα·› τὸ ΑΡΑ, εἰ μὲν ἀπορηματικὸς σύνδεσμός ἐστιν, ἀεὶ τροχαϊκόν ἐστι καὶ προπερισπᾶται, εἰ δὲ συλλογιστικός, κοινῶς μὲν ἀεὶ παροξύτονόν ἐστιν ὡς πυρριχαϊκόν, ποιητικῶς δὲ ἐνίοτε καὶ τροχαϊκόν ἐστι καὶ προπερισπᾶται. *fhnq*

plan **I 52 (p. 22, 16)** ‹τῆς ὥρας τῆς ἀρίστης·› τοῦ ἔαρος. *hmny*

mosch **I 52 (p. 22, 16)** ‹ὥρας·› ὥρα ἐφ᾽ ἑκάστου τῶν τεσσάρων τμημάτων τοῦ χρόνου, οἷον ἔαρος, θέρους καὶ τῶν λοιπῶν, καὶ ὥρα ἡ εὐμορφία. καὶ ἀπὸ μὲν τοῦ ἑνός, ὡραῖος ὁ εὐειδής, ἀπὸ δὲ θατέρου, ὡραῖος καρπὸς ἤ τι τοιοῦτον ποιητικῶς, ἤγουν ὁ ἐπὶ τῷ ἁρμόζοντι καιρῷ. *fhnq*

mosch **I 52 (p. 22, 16)** ‹ἀρίστης·› ἄριστον τὸ κάλλιστον, οὐ τὸ συγκριτικὸν ἄρειον διὰ διφθόγγου, καὶ ἔστι ποιητικόν. ἀπὸ τοῦ ἄριστον ἀριστεύω τὸ ἀνδραγαθῶ, καὶ ἀριστεία ἡ ἀνδραγαθία. ἄριστον καὶ τὸ γεῦμα, ἀπὸ τοῦ ἀριστάω ἀριστῶ. *fhnq*

mosch **I 52 (p. 22, 16)** ‹σημαίνει·› δηλοῖ καὶ μηνύει. *h*

plan **I 52 (p. 22, 17)** ‹ἐπιδημίαν·› ἐπέλευσιν. *y*

3–6 Ammon. 74 ἆρα καὶ ἄρα διαφέρει. ὁ μὲν γὰρ κατὰ περισπασμὸν λεγόμενος σύνδεσμος ἀπορηματικός ἐστιν, ὅτε ἀποροῦντες λέγομεν· 'ἆρα τέλος ἕξει τὸ πρᾶγμα;'. ὁ δὲ κατὰ συστολὴν συλλογιστικός. Syncell. Synt. 1712–1714 ἰστέον δὲ ὅτι τόνῳ διαφέρει ὁ ἆρα ἀπορηματικὸς σύνδεσμος τοῦ ἄρα συλλογιστικοῦ. ὁ μὲν γὰρ ἀπορηματικὸς προπερισπᾶται, ὁ δὲ συλλογιστικὸς παροξύνεται. **8–12** Hsch. ω 281 ὥρα· καιρός. κάλλος. τροπή. εὐμορφία. Cyr. ω 173 Hag. ὥρα ἔτους· τὸ ἔαρ καὶ τὸ θέρος. [Zon.] s.v. ὡραῖον· εὔμορφον. [Moschop.] Voc. Att. s.v. ὥρα ἐφ᾽ ἑκάστου τῶν τεσσάρων τμημάτων τοῦ χρόνου, οἷον ἔαρος, θέρους καὶ τῶν λοιπῶν. καὶ ὥρα ἡ εὐμορφία καὶ ἀπὸ μὲν τοῦ ἑνός, ὡραῖος ὁ εὐειδής, ἀπὸ δὲ τοῦ θατέρου ὡραῖος καρπὸς ποιητικῶς, ἤγουν ὁ ἐπὶ τῷ ἁρμόζοντι καιρῷ. **13–16** Et. Gud. s.v. ἄριστος (Hom. Il. II 5)· παρὰ τὸ ἀρείων· τοῦτο παρὰ τὸ Ἄρης, ὃ σημαίνει τὸν πόλεμον, γίνεται συγκριτικὸν ἀρείων, ἄριστος. ἐξ οὗ ἄριστος κυρίως ὁ ἐν πολέμῳ ἀνδραγαθῶν, καταχρηστικῶς δὲ ὁ ἐν οἱῳδήποτε πράγματι. [Moschop.] Voc. Att. s.v. ἀριστάω ἀριστῶ τὸ γευματίζω ἐξ οὗ ἄριστον καὶ τὸ γεῦμα. ἀριστεύω δὲ τὸ ἀνδραγαθῶ.

2 ἰσοφόρος h **3** ἀπορρηματικὸς h **3–4** ἔστι σύνδεσμος n **8** ἐφ᾽ ἑκάστη f **11** ὁ ante καρπὸς add. n | ὁ om. h **15** ἀρίστου h

I 52 (p. 22, 17) ‹φιλάνθρωπος·› a. φιλεῖ συνδιάγειν τοῖς ἀνθρώποις, τοιοῦτο καὶ ὁ κύων. *hmq* plan

b. φιλεῖ συνοικεῖν καὶ συνδιάγειν τοῖς ἀνθρώποις, τοιοῦτο καὶ ὁ κύων. *y* plan

c. φιλοῦσα μετ' ἀνθρώπων διάγειν. *h* mosch

I 52 (p. 22, 17) ‹χαίρει τῷδε τῷ ζῴῳ·› πρόσκειται ἡδέως τῷ ἀνθρώπῳ. *y* plan

I 52 (p. 22, 17) ‹χαίρει·› εὐφραίνει. *h* mosch

I 52 (p. 22, 17) ‹τῷδε τῷ ζῴῳ·› τῷ ἀνθρώπῳ. *hlmnq* plan

I 52 (p. 22, 18) ‹ὁμωρόφιος·› a. ἐν μιᾷ οἰκίᾳ αὐτῷ δηλονότι. *hmnqy* plan

b. ὁμόστεγος καὶ ὁμόσκηνος ὑπάρχουσα. *h* mosch

I 52 (p. 22, 18) ‹οὖσα·› a. οὖσα τὸ θέμα ἔω τὸ ὑπάρχω· ἡ μετοχὴ ἐών, ποιητικῶς, κοινῶς δὲ ὤν, τὸ θηλυκὸν ἐοῦσα ποιητικῶς, κοινῶς δὲ οὖσα· ἀφ' οὗ οὐσία καὶ περιουσία τὰ περὶ τὸν ἄνθρωπον πράγματα. *fhq* mosch

b. ἐὼν καὶ ἐοῦσα ποιητικῶς, ὢν δὲ καὶ οὖσα κοινῶς· ἀφ' οὗ καὶ ἡ οὐσία καὶ περιουσία τὰ π[ερὶ] τὸν ἄνθρωπον πράγματα. *n* mosch

I 52 (p. 22, 18) ‹ἄκλητος ἀφικνεῖται·› μὴ κεκλημένη ἔρχεται. *hmq* plan

I 52 (p. 22, 18) ‹ἄκλητος·› a. χωρὶς τοῦ κληθῆναι. *h* mosch

b. μὴ κεκλημένη. *y*

c. ἄκλητος ἀπὸ Α στερητικοῦ καὶ τοῦ καλῶ. τὸ γὰρ Α mosch

1–5 Cf. schol. I 7 (p. 4, 21) ad φιλανθρωπότατον. **12** [Zon.] s.v. ὁμωρόφιος· ὁ ὁμόστεγος. **13–18** Et. M. s.v. ἐούσης· ἔω, τὸ ὑπάρχω· ὁ μέλλων, ἔσω· ὁ δεύτερος ἀόριστος, ἦον· ἡ μετοχή, ἐών· καὶ κατὰ συναίρεσιν, ὤν· καὶ τὸ θηλυκὸν, ἐοῦσα ἐούσης, καὶ οὖσα, καὶ πλεονασμῷ τοῦ ι γίνεται οὐσία. **23–64,27** [Moschop.] Voc. Att. s.v. τὸ Α μόριον ποτὲ μὲν δηλοῖ στέρησιν, ὡς ἐν τῷ ἄκλητος· ποτὲ δὲ ἄθροισιν, ὡς ἐν τῷ ἅπας· ποτὲ δὲ τὸ πολύ, ὡς ἀχανὲς πέλαγος, τὸ μέγα πάνυ καὶ ἐπιπολὺ κεχηνός· ποτὲ δὲ τὸ ὁμοῦ, ὡς ἀκόλουθος ὁ ὁμοκέλευθος, καὶ ἀνίσχει ποιητικῶς, ἤγουν ἅμα ἴσχει, καὶ ἄκοιτις ἡ παράκοιτις, καὶ τοῦτο ποιητικόν, καὶ ἀκοίτης ἀρσενικῶς· ἐνίοτε δὲ κακόν, ὡς ἐν τῷ ἀφυὴς ποιητικῶς ὁ κακοφυής· ἄλλοτε δὲ τὸ ἴσον, ὡς ἀτάλαντος ὁ ἰσοτάλαντος· ποτὲ δὲ ὀλίγον, ὡς ἀμαθὴς ποιητικῶς ὁ ὀλιγομαθής· ἐνίοτε δὲ πλεονάζει ἀττικῶς μηδὲν σημαῖνον, ὡς ἐν τῷ στάχυς ἄσταχυς, σπαίρειν ἀσπαίρειν, ὃ λέγεται ἐπὶ τῆς ἀκοντὶ καὶ ἀμούσου

2 τοιοῦτο καὶ ὁ κύων om. q **10–11** δηλονότι om. y **13–16** ἔω – πράγματα om. h **18** supplevi **19** καὶ ante μὴ add. q

μόριον ποτὲ μὲν δηλοῖ στέρησιν, ὡς ἐνταῦθα, ποτὲ δὲ ἄθροισιν, ὡς ἐν τῷ πᾶς ἅπας· ποτὲ δὲ τὸ πολύ, ὡς ἀχανὲς πέλαγος, τὸ μέγα πάνυ καὶ ἐπιπολὺ κεχηνός· ποτὲ δὲ τὸ ὁμοῦ, ὡς ἀκόλουθος ὁ ὁμοκέλευθος, καὶ αὐίαχοι ποιητικῶς, ἤγουν ἅμα ἰαχῇ, καὶ ἄκοιτις ἡ παράκοιτις, καὶ τοῦτο ποιητικόν, καὶ ἀκοίτης ἀρσενικῶς· ἐνίοτε δὲ κακόν, ὡς ἀφυὴς ποιητικῶς ὁ κακοφυής· ἄλλοτε δὲ τὸ ἴσον, ὡς ἀτάλαντος ὁ ἰσοτάλαντος· ποτὲ δὲ ὀλίγον, ὡς ἀμαθὴς ποιητικῶς ὁ ὀλιγομαθής· ἐνίοτε δὲ πλεονάζει ἀττικῶς μηδὲν σημαῖνον, ὡς ἐν τῷ στάχυς ἄσταχυς, σπαίρειν ἀσπαίρειν, ὃ λέγεται ἐπὶ τῆς ἀκοντὶ καὶ ἀμούσου κινήσεως, ἤγουν ἐπιδεδεμένου τινὸς ἢ κεχρατημένου νόσῳ τινί· σκαίρειν δὲ τὸ εὐρύθμως κινεῖσθαι καὶ ὀρχηστικῶς. καὶ ἀπὸ μὲν τοῦ προτέρου σπάρος ὁ ἰχθύς, ἀπὸ δὲ τούτου σκάρος, καὶ τὸ ἐν τῇ συνηθείᾳ σκιρτᾶν. *fq*

mosch d. ἄκλητος ἀπὸ τοῦ A στερητ[ικοῦ] μορίου. τὸ γὰρ A μόριον ποτὲ μὲν στέρησιν δηλοῖ, ὡς ἐνταῦθα, ποτὲ δὲ ἄθροισιν, ὡς ἐν τῷ πᾶς ἅπας· ποτὲ [δὲ] τὸ πολύ, ὡς ἀχανὲς πέλαγος, τὸ μέγα πάνυ καὶ ἐπιπολὺ κεχηνός· ποτὲ δὲ τὸ ὁμοῦ, ὡς ἀκόλουθος ὁ ὁμοκέλευθος, καὶ αὐίαχος ποιητικῶς, ἤγουν ἅμα ἰαχῇ, καὶ ἄκοιτις ἡ παράκοιτις, καὶ τοῦτο ποιητικῶς, καὶ ἀκοίτης ἀρσενικῶς· ἐνίοτε δὲ κακόν, ὡς ἀφυὴς ποιητικῶς ὁ κακοφυής· ἄλλοτε δὲ τὸ ἴσον, ὡς ἀτάλαντος ὁ ἰσοτάλαντος· ποτὲ δὲ τὸ ὀλίγον, ὡς ἀμαθὴς ποιητικῶς ὁ ὀλιγομαθής· ἐνίοτε δὲ πλεονάζει ἀττικῶς μηδὲν σημαῖνον, ὡς ἐν τῷ στάχυς ἄσταχυς, σπαίρειν καὶ ἀσπαίρειν, ὃ λέγεται ἐπὶ τῆς ἀκοντὶ καὶ ἀμούσου κινήσεως, ἤγουν ἐπιδεδεμένου τινὸς ἢ νόσῳ κεχρατημένου. σκαίρειν δὲ τὸ εὐρύθμως κινεῖσθαι καὶ ὀρχηστικῶς. καὶ ἀπὸ μὲν τοῦ προτέρου σπάρος ὁ ἰχθύς, ἀπὸ δὲ τούτου σκάρος, καὶ τοῦ ἐν τῇ συνηθείᾳ σκιρτᾶν. *n*

plan **I 52 (p. 22, 18)** ‹ἀφικνεῖται·› a. ἔρχεται. *hy*

κινήσεως, ἤγουν ἐπιδεδεμένου τινὸς ἢ καὶ κεχρατημένου νόσῳ τινί· σκαίρειν δὲ τὸ εὐρύθμως κινεῖσθαι καὶ ὀρχηστικῶς. καὶ ἀπὸ μὲν τοῦ προτέρου σπάρος ὁ ἰχθύς, ἀπὸ δὲ τούτου σκάρος, καὶ τὸ ἐν τῇ συνθέσει σκιρτᾶν. Moschop. Sched. p. 22 τὸ πολύ ὡς ἐν τῷ ἀχανὲς πέλαγος, τὸ ἐπιπολὺ κεχηνός. [...] καὶ ἀνιάχη, ἤγουν ἅμα ἰαχῇ. p. 145 τὸ A ἀφ᾽ οὗ ἀχανὲς πέλαγος, τὸ ἐπιπολὺ κεχηνός. p. 101 ἀπὸ τοῦ ἀκόλουθος ὁ ὁμοκέλευθος.

14 supplevi **16** supplevi

b. ἀφικνοῦμαι τὸ ἔρχομαι, ἱκνοῦμαι δὲ τὸ παρακαλῶ ποιητικῶς. *fnq* mosch

I 52 (p. 22, 18) ‹ὅτε οἱ·› ἔστι δηλονότι αὐτῇ. *hmq* plan

I 52 (p. 22, 18) ‹ὅτε·› a. ἔστιν. *y* plan

b. ὅτε· ἀντὶ τοῦ ὁπότε, ὁτὲ δὲ ἀντὶ τοῦ ποτέ. *fnq* mosch

I 52 (p. 22, 18) ‹οἱ·› αὐτῇ. *hny* plan

I 52 (p. 22, 18) ‹φίλον·› a. προσφιλές. *y* plan

b. φίλος ἀεὶ βραχύ· παρὰ δὲ τοῖς ποιηταῖς ἐνίοτε καὶ μακρόν. *fnq* mosch

c. ἀποδεκτόν. *h* mosch

d. ἔστι δηλονότι. *n*

I 52 (p. 22, 18) ‹ἔχει·› a. διάκειται τὸ πρᾶγμα. *hmnqy* plan

b. τὸ ἔχειν, εἰ προσλάβοι τὸ Σ, τρέπει τὸ Ε εἰς Ι καὶ γίνεται ἴσχειν. ἀπὸ τούτου μετὰ τῆς ΕΝ προθέσεως γίνεται τὸ ἐνισχημένος ἐν περισπωμένῃ συζυγίᾳ, ἤγουν ἐμπεπηγμένος. τοῦ ἔχειν ὁ δεύτερος ἀόριστος ἔσχον, ἡ μετοχὴ σχὼν καὶ ἔστι κοινόν· ποιητικῶς δὲ γράφεται τὸ σχόμενος. μετὰ δὲ τῆς προθέσεως, εἰ μὲν τὴν σημασίαν ἔχει τοῦ ἐνεργητικοῦ, πάλιν ποιητικόν ἐστιν, οἷον ἀνασχόμενος ἀντὶ τοῦ ἀνασχών, εἰ δὲ ἑτέραν ἔχει σημασίαν, κοινόν, οἷον ἀνάσχου τόδε ποιοῦντος. *fq* mosch

c. τὸ ἔχειν, εἰ προσλάβοι τὸ Σ, τρέπεται τὸ Ε εἰς Ι καὶ γίνεται ἴσχειν. ἀπὸ τούτου μετὰ τῆς ΕΝ προθέσεως γίνεται τὸ ἐνισχ[ημέ]νος, [ἤγουν ἐμ]πεπηγμένος. τοῦ ἔχειν δεύτερος ἀόριστος ἔσχον, ἡ μετοχὴ ὁ σχών· ποιητικῶς δὲ τὸ σχόμενος. μετὰ δὲ προθέσεως, εἰ μὲν τὴν σημασίαν ἔχει τοῦ ἐνεργητικοῦ, πάλιν ποιητικῶς, οἷον ἀνασχόμενος ἀντὶ τοῦ ἀνασχών, εἰ δὲ ἑτέραν ἔχει, κοινόν, οἷον ἀνάσχου τόδε ποιοῦντος. *n* mosch

I 52 (p. 22, 19) ‹καλῶς·› ὑγιῶς. *h* mosch

1–2 Hsch. ι 490 *ἱκνοῦμαι· ἱκετεύω. ἔρχομαι. παρακαλῶ (Eur. Or. 671). **5** Schol. D Hom. Il. II 471 ὅτε· ὁπότε. Eust. in Il. v. 3 p. 152, 22 τὸ δὲ ὁτέ ἀντὶ τοῦ ποτέ οἱ ἀρχαῖοι παροξυτόνως φασίν. **8–9** Schol. Eur. Hec. 858 (ed. Dindorf) τὸ φιλεῖν καὶ ὁ φίλος διφορεῖται παρὰ τοῖς ποιηταῖς· ἔστι γὰρ καὶ μακρὸν καὶ βραχὺ τὸ φίλος. **12** Cf. schol. I 21 (p. 11, 26) ad ἔχοντες et X 28 (p. 246, 12) ad ἔχουσι.

8 ‹φ›ίλος n **8–9** καὶ ante μακρόν om. n **12** τὸ πρᾶγμα om. h n **17** σχώμενος f | τῆς om. q **23** supplevi

plan **I 52 (p. 22, 19)** ‹ἀπαλλάττεται·› a. ἀπέρχεται. *hlmnqy*

mosch b. ἀφίστ‹ατ›αι, ἀπέρχεται. *h*

mosch **I 52 (p. 22, 19)** ‹ὑποδέχονται·› φιλοφρονοῦνται. *h*

plan **I 52 (p. 22, 20)** ‹ξενίας·› a. τῆς ἀναδοχῆς τῶν ξένων. *hmnqy*

mosch b. φιλοξενίας. *h*

plan **I 52 (p. 22, 20)** ‹θεσμόν·› νόμον. *hmnqy*

mosch b. τὴν παραίνεσιν. *h*

mosch c. ἀπὸ δὲ τοῦ τίθημι θεσμός, καὶ ποιητικῶς τέθμια ἐπὶ τοῦ αὐτοῦ. *fnq*

plan **I 52 (p. 22, 20)** ‹κελεύει·› a. προστάττει. *hmq*

plan b. ὁρίζει. *y*

mosch **I 52 (p. 22, 21)** ‹φιλεῖν·› φιλοφρονεῖσθαι. *h*

plan **I 52 (p. 22, 21)** ‹τὸν παρόντα·› ἐπιδημοῦντα. *y*

plan **I 52 (p. 22, 21)** ‹ἀπιέναι·› ἀπέρχεσθαι. *hmy*

mosch **I 52 (p. 22, 21)** ‹ἰέναι·› ἀπέρχεσθαι. *hnq*

mosch **I 52 (p. 22, 21)** ‹βουλόμενον·› a. ἀπὸ τοῦ βάλλω βουλὴ καὶ βούλομαι καὶ συμβουλεύω, ὃ καὶ συμβουλεύομαι λέγεται, καὶ συμβουλὴ καὶ βέλος καὶ βολή, καὶ συμβολὴ κυρίως μὲν ἐπὶ συνελεύσεως τινῶν ἐπὶ πόλεμον, καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἄλλως συνερχομένων. ἀπὸ τούτου συμβόλαια, ἃ συνελθόντες τινὲς καὶ συμφωνήσαντες ἔγραψαν γράμματα. καὶ ἐπιβάλλω μὲν κοινῶς, βάλλομαι δὲ ποιητικῶς, τὸ ἐπιτυχῶς λαμβάνω, ὡς τὸ «σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσι» (Hom. Il. I 297 et al.). καὶ συμβάλλουσι μὲν ἄνθρωποι τὴν μάχην κυρίως, συμμίσγουσι δὲ ὕδατα. *fq*

mosch b. ἀπὸ τοῦ βάλλω βουλὴ καὶ βούλομαι καὶ συμβουλεύω, ὃ παθητικῶς λέγεται, καὶ συμβουλὴ καὶ βέλος καὶ βολή, καὶ συμβολὴ κυρίως ἐπὶ συνελεύσεως τινῶν ἐπὶ πόλεμον, καταχρηστικῶς

1–2 Schol. Eur. Phoen. 603 (ed. Dindorf) ἀπαλλάσσου· ἀπέρχου. **6** Hsch. θ 379 *θεσμόν· θεῖον νόμον. ἔθος, νόμον (Hom. Od. XXIII 296). Cyr. θεσ 26 Dr. θεσμούς· νόμους. **16–67,6** Cf. schol. 1, 12 (p. 7, 22). **22–23** Moschop. Sched. p. 150 τὸ παθητικόν, βάλλομαι. ὃ λαμβάνεται μὲν καὶ ἐπὶ τοῦ πεμπομένου, καὶ ἐπὶ τοῦ δεχομένου τὴν βολήν. λέγεται δὲ ποιητικῶς καὶ ἐπὶ τοῦ ἐπιτυχῶς λαμβάνειν. ὡς παρ᾽ Ὁμήρῳ «σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσι» (Il I 297 et al.).

2 ἀφίσται h : correxi **4** τῶν ξένων om. n q **5** φιλοξενείας h : correxi **8** θεσμὸς ἀπὸ τοῦ τίθημι n | καὶ ποιητικῶς f q ποιητικῶς δέ n **18** συμβουλὴ κυρίως q **23** βάλλε f **26–27** συμβουλὴ n : correxi

δὲ καὶ ἐπὶ τῶν ἄλλως συνερχομένων. ἀπὸ τούτου συμβόλαια τὰ γράμματα, ἃ συνελθόντες τινὲς καὶ συμφωνήσαντες ἔγραψαν. καὶ ἐπιβάλλω κοινῶς, ἐπιβάλλομαι ποιητικῶς, τὸ ἐπιτυχῶς λαμβάνω, ὡς τὸ «σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι» (Hom. Il. I 297 et al.). καὶ συμβάλλουσι μὲν ἄνθρωποι τὴν μάχην κυρίως, συμμίσγουσιν ὕδατα. *n*

I 52 (p. 22, 21) ‹ἀποπέμπειν·› a. ἀπολύειν. *hmnqy* plan
b. μετά τινος προπομπῆς πέμπειν. *h* mosch

I 55 (p. 23, 18) ‹ἑκάτερθ' ἕν·› ἐν [ἑτέρῳ] ἑκάτερον. L^1

I 57 (p. 24, 10) ‹Ψύλλους·› ὄνομα ἔθνους. L^1

I 57 (p. 24, 22) ‹τῇ ἀποθέσει·› τῇ ῥίψει. L^1

I 58 (p. 25, 4–5) ‹αἱ χελιδόνες·› οὐ πᾶσα χελιδών, ἀλλὰ τὰ λεγόμενα πετροχελιδόνια. L^1

I 58 (p. 25, 6) ‹μελι‹τ›τουργοί·› γράφεται σμηνουργοί. *A*

I 58 (p. 25, 7) ‹κόνυζαν·› εἶδος βοτάνης. L^1

I 58 (p. 25, 17) ‹κροκόδειλοι·› τὰ λεγόμενα σαμαμίθια. L^1

I 58 (p. 25, 22) ‹φλόμου·› φλόμος ἐστὶ πόα τις ᾗ καὶ ἀντὶ Diog
ἐλλυχνίου χρῶνται. ἡ αὐτὴ δὲ θρυαλλὶς καλεῖται. *H*

7 Schol. D Hom. Il. II 263 ἀφήσω· ἀπολύσω, ἀποπέμψω. **10** Hsch. ψ 267 ψύλλα, ψύλλαι· θηλυκῶς. ἄλλοι δὲ Ψύλλοι, ἔθνος Λιβύης (Hdt. IV 173). ἔστι δὲ καὶ ὄνομα ζωϋφίου μικροῦ ἀρρενικῶς, ὥς φησιν Ἐπίχαρμος (fr. 197 K.-A.). 271 Ψυλλικὸς γόης· ὁ τῶν Ψύλλων. οἱ δὲ Ψύλλοι ἔθνος Λιβύης. Et. Gud. s.v. Ψύλλοι, ὄνομα ἔθνους. **12–13** Eust. in Od. v. 1 p. 173, 12–14 καὶ ἐπιπολάζει τοιοῦτον στερήσεως εἶδος καὶ παρὰ τοῖς Λυκίοις μέχρι καὶ νῦν. οἳ χελιδόνας τινὰς ἃς οἱ ἰδιῶται πετροχελιδόνας φασίν, ἐκεῖνοι καλοῦσιν ἄποδας, οὐ διὰ παντελῆ στέρησιν ποδῶν ἀλλ' ὀλιγότητα ἤτοι σμικρότητα. **15** Hsch. κ 3544 κόνυζα· βοτάνη. [Zon.] s.v. κόνυζα· βοτάνη τίς. Schol. Nic. Ther. 70b κονύζης· κόνυζα εἶδος βοτάνης. **16** Cyran. 2, 29 ξυλοβάτης οἱ δὲ τοιχοβάτην ὃ οἱ πολλοὶ συνήθως σαμαμύθην λέγουσιν, ἕτεροι συληγούδιν, εἶδός ἐστι κορκοδείλου μικροῦ. Sophron. Narr. mirac. 44 τρία γὰρ ἑρπετὰ τὰ καλούμενα σαμαμίθια τοῦτον ᾤκουν τὸν κάλαμον, φωλεὸν αὐτὸν καὶ κοίτην ποιούμενα, ὃν ἀκάκως ἁρπάσασα τῷ οἰκείῳ προσήνεγκε στόματι. **17–18** Hsch. φ 642 φλόμος· πόα τις, ᾗ καὶ ἀντὶ ἐλλυχνίου χρῶνται. ἡ αὐτὴ δὲ καὶ θρυαλλίς. [Zon.] s.v. φλόνος· φυτόν. καὶ φλῶμος, βοτάνη, ᾗ καὶ ἀντὶ τοῦ ἐλλυχνίου χρῶνται. ἡ αὐτὴ δὲ καὶ θρυαλλίς. Αἰλιανός (NA I 58)· «ἐμβαλὼν δὲ εἰς τὴν λίμνην φλώμου φύλλα ἢ κάρυα, ἀπώλεσε τοὺς γυρίνους ὁ τῶν μελισσῶν δεσπότης ῥᾷστα».

1 ἄλλων $n^{a.c.}$ **9** supplevi

Diog **I 58 (p. 25, 22)** ‹τοὺς γυρίνους·› τὸ ἐκ τοῦ βατράχου παιδίον. *H*

I 59 (p. 27, 4) ‹αὐτοετεῖς·› αἱ ἑνὸς χρόνου οὖσαι. L^1

II 1 (p. 28, 5) ‹πειρῶνται·› ἄρχονται. L^1T

II 1 (p. 28, 11) ‹τῷ ταρσῷ·› τῷ πλάτει. L^1T

II 2 (p. 28, 18) ‹πυριγόνους·› τὴν σαλαμάνδρ[αν] λέγει. L^1

II 6 (p. 29, 22) ‹Ἀρίωνος·› Ἀρίων δὲ ὄνομα ἵπ̣π̣[ο]υ̣. *L*

II 6 (p. 30, 21) ‹ἐπειγούσης·› ἐπείγω ἕτερον ἀντὶ τοῦ παρακινῶ καὶ ἀναγκάζω, ἐπείγομαι δὲ ἐγὼ οὐχ ὑπό τινος, καὶ ἥδω ἕτερον ποιητικῶς, ἥδομαι δὲ ἐγώ, καὶ λυπῶ ἕτερον, λυποῦμαι δὲ ἐγώ, καὶ ὀχῶ ἕτερον, ἤγουν ἔποχον ποιῶ, ὀχοῦμαι δὲ ἐγώ. Ἀριστοφάνης (Ran. 23)· «αὐτὸς βαδίζω καὶ πονῶ, τοῦτον δ᾽ ὀχῶ». *z*

II 8 (p. 31, 16) ‹ἐσχαρίδας·› ἐσχαρίδας νῦν οὗτος λέγει ἀσυνήθως τὰ φανάρια, ἀπὸ μεταφορᾶς τῶν ἐσχαρῶν ἐν αἷς τὸ πῦρ ἅπτεται. L^1

II 9 (p. 32, 11) ‹τῇ καταδρομῇ·› τῇ διώξει. *T*

II 11 (p. 33, 16) ‹ἐπιδραμών·› ἐπελθών, διηγησάμενος. L^1T

II 11 (p. 34, 14) ‹ἐψεύσαντο·› ψευδ[ῶς] ἀπέφ[ηναν]. L^1

II 11 (p. 34, 18) ‹διαχέοντες·› λυγίζοντες, εὐκόλως ὡς ὕδωρ κινοῦντες. L^1T

II 11 (p. 36, 1) ‹χείρ·› δοκεῖ χεῖρα λέγειν τ̣[ὰ] ἀρχέτυπα

1–2 Hsch. γ 1028 γύρινον· τὸ ἐκ τοῦ βατράχου παιδίον. **3** Cf. schol. I 10 (p. 6, 9) ad αἱ μὲν αὐτοέτεις. **6** Ael. NA II 31 (p. 43, 19–20) ἡ σαλαμάνδρα τὸ ζῷον οὐκ ἔστι μὲν τῶν πυρὸς ἐκγόνων, ὥσπερ οὖν οἱ καλούμενοι πυρίγονοι. **7** Hsch. α 7267 *Ἀρίων· ὁ ἵππος, Ποσειδῶνος υἱὸς καὶ μιᾶς τῶν Ἐρινύων **8–12** [Moschop.] Voc. Att. s.v. ἐπείγω ἕτερον ἀντὶ τοῦ παρακινῶ καὶ ἐπισπεύδω. ἐπείγομαι δὲ ἀμεταβάτως ἀντὶ τοῦ σπεύδω. Georg. Lacap. Epim. p. 103, 9–12 Lindstam λέγεται δὲ ὀχῶ παρὰ τοῖς Ἀττικοῖς καὶ τὸ ὀχεῖσθαι ποιῶ καὶ ἐπιβάτην καθίστημι ἕτερον, ὡς καὶ Ἀριστοφάνης (Ran. 23)· «αὐτὸς βαδίζω καὶ πονῶ τοῦτον δ᾽ ὀχῶ», ἀντὶ τοῦ ὀχεῖσθαι ποιῶ. Schol. rec. Eur. Phoen. 1171 (ed. Dindorf) ἠπειγόμεσθα· ἐπείγω ἕτερον ἀντὶ τοῦ παρακινῶ καὶ ἐπισπεύδω, ἐπείγομαι δὲ ἀμεταβάτως, ἀντὶ τοῦ σπεύδω. καὶ ἥδω ἕτερον ποιητικῶς, ἥδομαι δὲ ἐγὼ ἀμεταβάτως. Cf. schol. I 2 (p. 2, 24) ad ἐπείγονται. **17** Schol. Soph. Oed. tyr. 1300 ἐπιδραμών· ἐπελθών.

6 supplevi **7** supplevi **18** supplevi **19–20** εὐκόλως ὡς ὕδωρ κινοῦντες om. T **21–69,2** supplevi

γρ̣[άμ]ματα τὰ τοῦ [δι]δασκάλου, ἅ[περ] ἀγροικικῶ̣[ν] ἐπιδημῶν λέ̣[γουσι]. L^1

II 13 (p. 36, 9) ‹τινῶν·› γράφεται κυνῶν. *H*

II 13 (p. 36, 21) ‹ἀτεκμάρτῳ·› ἀδήλῳ. L^1T

II 13 (p. 36, 25) ‹τὸ ζῷον·› τὸ κῆτος. L^1T

II 22 (p. 40, 9) ‹ἀλεαίνεται·› ἀλεαίνω τὸ θερμαίνω. *z*

II 22 (p. 40, 18) ‹βρίθουσαι·› a. βρυάζουσαι. *L*

b. πάσχουσαι. *T*

II 26 (p. 42, 10) ‹κονίστρας·› κονίστρα κυρίως ὁ τόπος ὅπου παλαίουσιν, ᾧ ὑποχέουσι κόνιν ἵνα μὴ συντρίβωνται οἱ καταπίπτοντες, ἀλλὰ ἐπὶ χαύνης πίπτωσι γῆς· ἀπ᾽ ἐκείνου δὲ καταχρηστικῶς κονίστρα ἐνταῦθα τὸ ἐπιπάττειν κόνιν ταῖς ἑαυτῶν κεφαλαῖς τοὺς αἰετούς, ὅπερ ποιεῖν εἰώθασιν αἱ κατοικίδιοι ὄρνεις καύματος ὄντος, οἱονεὶ γὰρ ἐγκαλινδοῦνται τῇ κόνει. L^1

II 26 (p. 42, 11) ‹ἀναμένει·› ζήτει εἰ ἀνανεύει. L^1

II 26 (p. 42, 13) ‹πολλοῦ τοῦ αἰθέρος·› τοῦ διαστήματος. *T*

II 26 (p. 42, 22) ‹ἐγγραφή ἐστιν·› τὸ ἀναχθῆναι εἰς τὸ γένος. *T*

II 29 (p. 43, 4) ‹ἐμπεσοῦσα·› a. ἐμβληθεῖσα. *y* plan

b. ἐμπαίει τις, καὶ εἰσπαίει ἀντὶ τοῦ εἰσέρχεται, καὶ mosch
ἐκπαίει ἀντὶ τοῦ ἐξέρχεται, καὶ συμπαίει ἀντὶ τοῦ συγκρούει, δίφθογγον· ἐνέπεσε δὲ ἐπὶ δευτέρου ἀορίστου ἀπὸ τοῦ ἐμπίπτω καὶ ἐμπεσεῖν, ψιλόν. *fgnq*

4 Schol. Lucian. Icar. 4 (p. 100, 20) ἀτέκμαρτα· ἄδηλα. Schol. Opp. Hal. I 35 ἀτέκμαρτοι· ἀπλήρωτοι, ἀσήμαντοι, ἀφανεῖς, ἄδηλοι. 2, 381 ἀτεκμάρτοισιν· πολλοῖς, ἀσημάντοις, ἰσχυροῖς, ἀδήλοις, ἀστοχάστοις. Schol. Thuc. IV 63, 1 ἀτέκμαρτον· τὸ ἀφανὲς καὶ ἄδηλον. **6** Hsch. α 2816 ἀλεαινοίμην· θερμαινοίμην (Aristoph. Eccl. 540). Cyr. α 985 Hag. ἀλεαίνειν· θερμαίνειν. **9–14** Cyr. κ 481 Hag. κονίστρα· παλαίστρα. Su. κ 2043 κονίστρα· παλαίστρα. ἢ κυλίστρα. [Zon.] s.v. κονίστρα· ὁ ἀγών. ἡ παλαίστρα ἢ ἡ κυλίστρα. **16** Schol. Hom. Il. VIII 16b τὰ οὐράνια, ὥς φησι, τρία διαστήματα ἔχει, ἀέρα μέχρι νεφελῶν, εἶτα αἰθέρα μέχρι τῶν φαινομένων καὶ τῆς Διὸς ἀρχῆς. **19** Cf. schol. V 22 (p. 112, 12) ad ἐμπέσωσιν.

1 ἐπιδειμῶν L^1 : correxi **12** ἐπιπάπτειν L^1 : correxi **13** ὄρνις L : correxi

mosch **II 29 (p. 43, 4)** ὕδωρ· παρὰ μὲν τοῖς ἄλλοις ποιηταῖς μακρόν, παρὰ δὲ τοῖς τραγικοῖς βραχύ, ὡς τὸ ἀνήρ, τὸ ἴσον καὶ ἕτερα. *fgnq*

plan **II 29 (p. 43, 5)** ‹ἀλλά·› τὸ ἀλλὰ πρὸς τὸ «ἡ ζώων ἐστὶ θρασυτάτη» λέγεται. *hlmy*

plan **II 29 (p. 43, 5)** ‹ἀνέχει·› a. ἀναβαστάζει ἑαυτὴν δηλονότι, ἤγουν οὐκ ἀναδύεται. *hlmnq*

plan b. ἀναβαστάζει ἑαυτὴν ὥστε μὴ βυθίζεσθαι. *y*

mosch c. ἀνέχει τίς τι ἀντὶ τοῦ ἀναβαστάζει, καὶ ἀνέχει τι εἰς ὕδωρ ἐμπεσόν, ἤγουν οὐ καταδύεται. ἐξέχει δὲ ἀντὶ τοῦ ἐξαίρετόν ἐστι, καὶ ἔξοχον τὸ ἐξαίρετον, καὶ ἔξοχα ὁμοίως, ὃ ποιητικῶς λέγεται ὄχα, χωρὶς τῆς προθέσεως, ἀντὶ τοῦ ἐξόχως. *fgnq*

mosch **II 29 (p. 43, 5)** ‹οὔτε νηκτική·› οὔτε φύσιν ἔχουσα νήχεσθαι. *n*

plan **II 29 (p. 43, 5)** ‹νηκτική·› ἐπιτηδειότητα ἔχουσα νήχεσθαι. *hlmqy*

plan **II 29 (p. 43, 6)** ‹ἐξέλοις·› a. ἐκβάλοις. *hmnq*

plan b. ἐκβάλοις τοῦ ὕδατος αὐτήν. *y*

plan c. ‹ἐξέλῃς·› ἐκβάλῃς. *l*

plan **II 29 (p. 43, 6)** ‹τέφραν·› στάκτην. *y*

plan **II 29 (p. 43, 7)** ‹ἐμπάσαις·› ἐπάνω ταύτης ῥάναις. *y*

mosch **II 29 (p. 43, 7)** ‹ἡλίου·› ἥλιος δασύνεται, ἠέλιος δὲ ψιλοῦται. *fgnq*

plan **II 29 (p. 43, 7)** ‹ἀναβιώσεις·› a. ζῶσαν πάλιν ποιήσεις. *hlmq*

plan b. ζῶσαν πάλιν ποιήσεις· ἡ ΑΝΑ τὸ δεύτερον δηλοῖ. *y*

c. ‹ἀναβιώσῃ·› ζῶσαν πάλιν ποιήσῃ. *n*

II 33 (p. 44, 13) ‹ἐκγλυφείς·› a. ἐκλεπισθείς. L^1

1–3 Schol. Pind. Ol. I 1 (p. 1 Σεμιτέλος) τὸ υ παρὰ μὲν τοῖς ἄλλοις ποιηταῖς ἐστι μακρόν, παρὰ δὲ τοῖς τραγικοῖς βραχύ, ὡς τὸ ἀνὴρ καὶ ἕτερα. **1–3** [Moschop.] Voc. Att. s.v. ὕδωρ παρὰ μὲν τοῖς ἄλλοις ποιηταῖς μακρόν, παρὰ δὲ τοῖς τραγικοῖς βραχύ, ὡς τὸ ἀνήρ καὶ τὸ ἴσον καὶ ἕτερα. **6–10** Georg. Lacap. Epim. p. 36, 15–16 Lindstam ἀνέχειν λέγεται μὲν μεταβατικῶς ἀντὶ τοῦ ἀναβαστάζειν, συντασσόμενον αἰτιατικῇ, οἷον· ἀνέχουσι τὸν οἶκον οἱ κίονες. **19** Schol. rec. Aristoph. Nub. 1083f τέφρα· στάκτη. **26–71,2** Hsch. ε 3694 ἐξέλεψεν· ἐξέγλυψεν. ἐξελέπισεν.

4 ἐστὶ om. y **6** ἀναβαστάζεται n | ἑαυτὴν δηλονότι om. n **7** ἤγουν οὐκ ἀναδύεται om. q **9** τίς τι f g q τις γίνεται n **10** ἀντὶ τοῦ τοῦ g **14** ἔχει y **21** ἡ ἔλιος g | δέ om. n

b. ἐκγλύφειν τὸ ἐκλεπίζειν, καὶ ἐκγλυφεὶς ἀντὶ τοῦ ἐκλεπισθείς. *z*

II 34 (p. 44, 20) ‹εἰ σαφῆ ταῦτα·› σύνηθες τοῖς Ἀττικοῖς παραλείπειν ἔξωθεν νοεῖσθαι τὰ ὑπαρκτικὰ ῥήματα, ὡς ἐνταῦθα «εἰ σαφῆ ταῦτα», εἰσὶ δηλονότι, καὶ τὰ ἑπόμενα τοῖς προκειμένοις ἐξ ἀνάγκης, ὡς «ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς» (Psalm. CXXII 2, 2), ὁρῶσι δηλονότι, τὸ γὰρ ὁρᾶν ἕπεται τοῖς ὀφθαλμοῖς. καὶ τὸ προσλαμβάνειν συνδέσμους παραπληρωματικοὺς ἵνα ὁ λόγος ἀπὸ τοῦ κοινοῦ αἴρηται ὡς τὸ ἐγὼ λέγουσιν ἔγωγε· καὶ τὸ παραλείπειν τὴν ΚΑΤΑ πρόθεσιν ὡς τὸ καθὰ ἅτε φασί· καὶ τὴν ΔΙΑ ἐνίοτε. τὸ δὲ παραλείπειν τὰς ἄλλας προθέσεις, ὡς τὴν ΕΞ ἐν τῷ ὄχα, καὶ τὸ πρόθεσιν ἀντὶ προθέσεως λαμβάνειν, ὡς ἀντὶ τῆς ΑΠΟ τὴν ΕΞ ἐν τῷ «ἐξενέγκωμαι κλέος» παρὰ Σοφοκλεῖ (El. 60), ὥσπερ καὶ σύνδεσμον ἀντὶ συνδέσμου, ὡς ἀντὶ τοῦ ΕΠΕΙ παρασυναπτικοῦ τὸν ΕΙ συναπτικόν, καὶ ὄνομα ἀντὶ ὀνόματος, ὡς τὸν βουκόλον ποιμένα Ὅμηρος λέγει ἐν τῷ «ὅθι ποιμένα ποιμὴν ἠπύει εἰσελάων» (Od. X 82–83), ἀντὶ τοῦ βουκόλον, καὶ ῥῆμα ἀντὶ ῥήματος, ὡς τὸ μερμερίζειν ἐπὶ λέοντος ἀντὶ τοῦ ὁρμαίνειν καὶ ὁρμαίνειν ἐπὶ ἀνθρώπου ἀντὶ τοῦ μερμερίζειν, καὶ μετοχὴν ἀντὶ μετοχῆς, ὡς τὸ σχόμενος ἀντὶ τοῦ σχών, καὶ ἄρθρον ἀντὶ ἄρθρου ὡς τὸ τοῦ ἀντὶ τοῦ οὗ, καὶ πάντα τὰ προτακτικὰ ἀντὶ ὑποτακτικῶν, καὶ ἀντωνυμίαν ἀντὶ ἀντωνυμίας, ὡς τὸ σφέτερον ἀντὶ τοῦ ὑμέτερον καὶ τὸ ἑὸν ἀντὶ τοῦ σφέτερον· ταῦτα τῶν ποιητῶν εἰσι. τῶν Ἀττικῶν δέ ἐστι καὶ τὸ ἐπὶ τῶν γενικῶν τῶν πρωτοτύπων ἀντωνυμιῶν ἐν τῷ ἰωνικῷ προστιθέναι τὸ ΘΕΝ καὶ ποιεῖν ἐμεόθεν, καὶ κατὰ συγκοπὴν ἐμέθεν, καὶ σέθεν ὁμοίως καὶ ἕθεν. *fgnq* mosch

II 34 (p. 44, 20) ‹ἀμφίλογα·› ἀμφίβολα. *n* mosch

II 34 (p. 44, 20–21) ‹πειθέτωσαν·› πείθει τίς τινα καὶ πείθεται ἐκεῖνος ὑπ᾽ αὐτοῦ· ἀφ᾽ οὗ πιθανὸς ὁ ἐπιτηδειότητα ἔχων mosch

28 Schol. Thuc. IV 118, 8 ἀμφίλογα· ἀμφισβητήσιμα, ἤγουν τὰ ἀμφίβολα.

5 εἰ σαφῆ ταῦτα om. n **13** ἀντὶ τοῦ ΑΠΟ n **14** ὥσπερ om. n **16** ὡς τὸ βουκόλον n **17** ἠπύει εἰσελάων om. n **19** ἐπ᾽ ἄνθρωπον n **20** μετοχὴν f g q μετοχὴ n **25** προτοτύπων g **26** ποιεῖ n | καὶ κατὰ συγκοπὴν ἐμέθεν f g q ἐμέθε κατὰ συγκοπὴν n **29–30** πείθεται ἐκείνῳ n **30** πιθανὸς f g q πειθανὸς n

πείθειν· πείσομαι δὲ ἐπὶ τοῦ μέσου μέλλοντος ἀντὶ τοῦ πάθω. *fgnq*

mosch **II 34 (p. 44, 21)** ‹νῦν·› ΝΥΝ ἐπίρρημα καὶ ἔστι ποτὲ μὲν καιροῦ παραστατικόν, ὡς ὅταν δηλοῖ τὸ ἀρτίως, ποτὲ δὲ χρόνου δηλωτικόν, ὡς ὅταν πλατὺ ᾖ, καὶ περιλαμβάνει παρεληλυθότα χρόνον καὶ ἐνεστῶτα καὶ μέλλοντα, ὡς εἰ εἴρηκέ τις νῦν πλεονάζειν τὴν ἀδικίαν. δηλοῖ δὲ καὶ παρεληλυθότα χρόνον ἰδίως, ὡς τὸ «νῦν μὲν Μενέλαος ἐνίκησε σὺν Ἀθήνῃ» (Hom. Il. III 439), καὶ ἐνεστῶτα, ὡς τὸ «νῦν μὲν πειρᾶται τάχα δ᾽ ἴψεται λαὸν Ἀχαιῶν» (Hom. Il. II 193), καὶ μέλλοντα, ὡς νῦν ἐρῶ, καὶ παρ᾽ Ὁμήρῳ «νῦν †αὐτέγχεϊ† πειρήσομαι αἴ κε τύχοιμι» (Hom. Il. V 279), δηλοῖ καὶ τὸ ποτέ. λαμβάνεται καὶ ὡς τμῆμα χρόνου, ὡς ἡ στιγμὴ τῆς γραμμῆς ᾧ χρῶνται οἱ φιλόσοφοι. προσλαμβάνει καὶ τὸ Ι ἀττι-

1–2 Schol. Aeschyl. Sept. 263e πείσομαι· πάθω. **3–73,7** Planud. Dial. Gramm. p. 60, 23–34 τὸ νῦν, ἡνίκα δηλοῖ τὸ ἀρτίως, ἐπίρρημα ὄν, μακρόν τέ ἐστι καὶ περισπᾶται· ἡνίκα ἀντὶ τοῦ νύ παραπληρωματικοῦ συνδέσμου, σύνδεσμος τηνικαῦτα γινόμενον, βραχύνεταί τε καὶ ἐγκλίνεται. καὶ Σοφοκλῆς (Ai. 87) «σίγα νυν ἑστώς» καὶ Εὐριπίδης (Hec. 996) «σῶσόν νυν αὐτόν». Thom. Mag. Ecl. pp. 248, 3–249, 15 τὸ νῦν ἀντὶ τοῦ ἀρτίως, ὃ καὶ νυνί λέγεται, ἐπὶ ἐνεστῶτος ἀεὶ τίθεται, καὶ ἐν ἀρχῇ καὶ ἐν μέσῳ καὶ ἐν τῷ τέλει τοῦ κώλου, ὅπως ἂν ὁ ῥυθμὸς διδῷ· τότε γὰρ μετὰ παρῳχημένου καὶ μέλλοντος, ὅταν συντομίαν ἔχωσιν ἄμφω οἱ χρόνοι καὶ ὥσπερ ἔμφασιν ἐνεστῶτος, ὡς τὸ νῦν ἔτυψα, καί, νῦν ἐλθὼν ὄψομαι. καὶ Πλάτων ἐν Φαίδωνι (60a)· «ὦ Σώκρατες, ὕστατον δή σε προσεροῦσι νῦν οἱ ἐπιτήδειοι». καὶ Ὅμηρος ἐν πέμπτῃ Ἰλιάδος (279)· «νῦν αὖτ᾽ ἔγχεϊ πειρήσομαι, αἴ κε τύχοιμι». καὶ πάλιν ἐν τρίτῃ Ἰλιάδος (439)· «νῦν μὲν Μενέλαος ἐνίκησεν σὺν Ἀθήνῃ». εἰ δὲ παράτασιν δηλοῦσι, τότε τὸ νῦν τιθέμενον σολοικισμὸν ποιεῖ, ὡς τὸ νῦν σοφὸς γενήσομαι· δεῖται γὰρ ἡ σοφία χρόνου· τὸ δὲ νῦν, ὅπερ ἀκολουθίαν σῴζει προηγουμένου χρόνου καὶ οὐ χρόνον δηλοῖ, ἀεὶ ἐπαγόμενόν ἐστιν, οἷον, ἐγὼ μὲν ἐβουλόμην τὰ καὶ τὰ ποιῆσαι, νῦν δὲ τόδε γέγονε· καί, εἰ ἐποίησα τόδε, τόδε ἂν ἀπηντήκει, νῦν δὲ οὐδὲν ὧν ἐχρῆν γέγονεν ἢ γενήσεται ἢ γίνεται. συνάπτεται γὰρ τοῖς τρισὶ χρόνοις, ὅπως ἂν ἀκολουθίας ὁ λόγος ἔχῃ. ἔστι δὲ καὶ νῦν ἀντὶ τοῦ ποτέ, οἷον, νῦν μὲν ἀγαθὸς δοκεῖ, νῦν δὲ πᾶν τοὐναντίον. χρῶνται δὲ οἱ τραγικοί τε καὶ κωμικοὶ καὶ ἑτέρῳ νῦν, λαμβανομένῳ μὲν ἀντὶ τοῦ δή, ἔχοντι δὲ ἔμφασίν τινα χρόνου, ὡς παρὰ Σοφοκλεῖ ἐν Αἴαντι (87)· «σίγα νυν ἑστὼς καὶ μέν ὡς κυρεῖς ἔχων». καὶ παρ᾽ Εὐριπίδῃ ἐν Ἑκάβῃ (996)· «σῶσόν νυν αὐτόν».

4 παρατατικόν n **5** ᾖ f g q εἴη n | περιλαμβάνῃ g q **6** τις νῦν f g q τῆς ναῦ n **8** Μενέλαε ἐνίκησεν n **10** ὡς τὸ νῦν n | καὶ ante παρ᾽ Ὁμήρῳ om. n **11** δηλοῖ δὲ καὶ n **12** λαμβάνεται δὲ ἐπὶ τμῆμα n

κῶς καὶ γίνεται νυνὶ ὅτε καιροῦ ἐστι παραστατικόν. ἔχει δὲ μακρὸν ἀεὶ τὸ Υ, καὶ πρὸς τούτοις περισπᾶται. ΝΥΝ δὲ σύνδεσμος παραπληρωματικός, ἀπὸ τοῦ ΝΥ κατὰ πλεονασμὸν τοῦ Ν, ἀφ' οὗ τὸ τοίνυν, ἀεὶ βραχὺ τὸ Υ ἔχει καὶ οὐ δέχεται τόνον, ἀλλ' ἀεὶ ἐγκλίνεται, καὶ ἔστι παρὰ τοῖς ποιηταῖς μόνοις ἐν χρήσει, ὡς τὸ «σίγα νυν ἑστὼς καὶ μέν' ὡς κυρεῖς ἔχων» (Soph. Ai. 87). ἡμεῖς δὲ ἀντὶ τούτου τῷ ΔΗ χρώμεθα. *fgnq*

II 34 (p. 44, 21) ‹ἐρῶ·› εἴρω τὸ λέγω ἄχρηστον ἐν τῷ ἐνεστῶτι, τούτου ὁ μέλλων ἐρῶ καὶ ἔστιν ἐν χρήσει. ἔστι καὶ ἕτερον ῥῆμα, εἰρέω εἰρῶ ἄχρηστον ἐν τῷ ἐνεστῶτι καὶ τοῦτο, ἀπὸ δὲ τούτου τὸ εἰρήσεται καὶ τὸ εἴρηκα καὶ τὸ εἴρημαι ἐν χρήσει· καὶ εἴρω τὸ ἐρωτῶ ποιητικῶς, ὃ κοινῶς λέγεται ἔρω, ἄχρηστα καὶ ἀμφότερα ἐν τοῖς ἐνεργητικοῖς. ἀπὸ δὲ τούτων τὸ ἤρετο κοινῶς μὲν διὰ τοῦ Η, ποιητικῶς δὲ διὰ διφθόγγου. ταῦτα δὲ ψιλοῦνται. εἴρω δὲ τὸ συμπλέκω δασύνεται, ἀφ' οὗ εἱρμὸς καὶ ὅρμος, ὁ περιτραχήλιος κόσμος. *fgnq* mosch

II 34 (p. 44, 21) ‹τῆς ἐκεῖθεν φήμης·› ἀπὸ τῶν Ἰνδῶν. *n* mosch

II 34 (p. 44, 21) ‹φήμης·› ἀπὸ τῆς φήμης καὶ τοῦ Α τοῦ δηλοῦντος τὸ πολὺ ἀφήτωρ, ὁ ἐν Δελφοῖς θεός, ὁ πολλὰς δηλονότι φήμας ἀφιείς. *fgnq* mosch

II 34 (p. 44, 22) ‹ὁμώνυμον·› ἰστέον ὅτι ἐπὶ τῶν οὐδετέρων τῶν ἐπιθέτων συμβαίνει ὅταν μὲν αὐτὰ χωρὶς ἄρθρου ᾖ ἀντὶ ἐπιρρημάτων ἐνίοτε λαμβάνεσθαι ὡς τὸ «τί δή με λοξὸν ὄμμασι βλέπουσα νηλεῶς φεύγεις;» (Anacr. PMG 72, 1–2), ἀντὶ τοῦ λοξῶς· μετὰ δὲ τοῦ ἄρθρου ἀεὶ ὀνόματα εἶναι, οἷον τὸ ταχὺ παιδίον ἀφίκετο. ἐπὶ δὲ τῶν κυρίων ἢ τῶν προσηγορικῶν οὐ δύναται τοῦτο συμβῆναι. *fgnq* mosch

II 34 (p. 44, 22) ‹τῷ φυτῷ·› τὸ φυτὸν εἰς τρία διαιρεῖται, εἰς βοτάνην, θάμνον καὶ δένδρον. *fgnq* mosch

15–16 [Moschop.] Voc. Att. s.v. εἴρω τὸ πλέκω δασύνεται, ἀφ' οὗ εἱρμὸς καὶ ὅρμος ὁ περιτραχήλιος κόσμος. εἴρω δὲ τὸ λέγω ψιλοῦται. **18–20** Moschop. Sched. p. 22 ἀφήτωρ ὁ ἐν Δελφοῖς θεός, ὁ πολλὰς δηλαδὴ φήμας ἀφιείς.

1 παρατατικόν g **2** ἀεὶ om. n **3** ἀπὸ τοῦ Ν n **4** ἀφ' οὗ καὶ τὸ τοίνυν n ἀεὶ τὸ Υ βραχὺ n **6** ἑτὼς g **7** ἀντὶ τοῦ τούτου n | τὸ ΔΗ f **12** ἔρω ἄχρηστον n **13** εἴρετο q[a.c.] **23** τί δεῖ με q **24** ἀντὶ τοῦ λοξῶς om. f

II 34 (p. 44, 23) ‹τοῦ παιδὸς τοῦ Νικομάχου·› τοῦ Ἀριστοτέλους, ὅ τε γὰρ αὐτοῦ πατὴρ Νικόμαχος, ὅ τε υἱὸς Νικόμαχος ἐλέγετο. *L^1*

mosch **II 34 (p. 44, 24)** ‹τὸ φερώνυμον·› τὸν ἔχοντα αὐτοῦ ὄνομα. *n*

mosch **II 34 (p. 44, 25)** ‹ὅπου·› a. τὸ ὅπη διὰ τοῦ Η καὶ ὅπου στάσιν ἔχει ἐν τόπῳ, ὅποι δὲ διὰ τοῦ Ο καὶ Ι κίνησιν εἰς τόπον. *fgnq*

mosch b. ἐπ̣ὶ̣ τ̣ῷ τόπῳ. *n*

mosch **II 34 (p. 44, 25)** ‹ὅπως·› κατά τινα τρόπον. *n*

mosch **II 34 (p. 44, 25)** ‹οὐδὲν·› τὸ οὐδὲν ἐνίοτε μὲν ἐπίρρημά ἐστιν ἀντὶ τοῦ οὐδαμῶς, ἐνίοτε δὲ ὄνομα, καὶ κλίνεται οὐδενός· καὶ οὐδὲν μὲν κοινόν, οὔτι δὲ ποιητικὸν τὸ αὐτό. *fgnq*

II 35 (p. 45, 5) ‹τὴν τροφήν·› [ἐσθίει γὰρ] αὕτη τότε μὲν πολὺ πρὸς τὴν αὔξησιν, κατὰ δὲ τὴν μείωσιν ἔλαττον. *L^1*

II 38 (p. 45, 29) ‹κορικῶς·› γυναικικῶς, δίκην κόρης. *L^1*

II 38 (p. 46, 3) ‹ἐπίκλυσιν·› ἐπίχυσιν. *L^1*

II 39 (p. 46, 16) ‹εὐήλαται·› ἀντὶ τοῦ εὖ ἅλεται, ἤγουν πηδᾷ. *p*

II 42 (p. 48, 5) ‹φιλοτησίας·› φιλοτησία· φιλία, δεξίωσις. *L*

II 43 (p. 49, 3) a. ‹ἐκπτησίμους·› ζήτει ἐκπτησίμους. *L^1*

b. ‹ἑρπετασίμους·› γράφεται ἐκπτησίμους. *H*

II 44 (p. 49, 7) ‹ἄβρωτον·› ἄλλοις δηλονότι. *L^1*

II 46 (p. 50, 2) ‹αἰγυπιούς·› αἰγυπιὸς ὄρνεον ἐν μεθορίῳ αἰετῶν καὶ γυπῶν. *z*

1–3 Vit. Arist. (Vulg.) 1 ὁ Ἀριστοτέλης τὸ μὲν γένος ἦν Μακεδών, πόλεως δὲ Σταγείρων, υἱὸς Νικομάχου, ἰατροῦ Ἀμύντα τοῦ τῶν Μακεδόνων βασιλέως· ὅθεν καὶ τὸν ἴδιον υἱὸν Νικόμαχον προσηγόρευσε. **5–7** Thom. Mag. Ecl. p. 266, 7–9 ὅπου καὶ ὅπη διὰ τοῦ η ἐπὶ στάσεως τίθενται, οἷον, ὅπη εὑρίσκομαι, καὶ ὅπου οἰκῶ, καὶ ὅποι διὰ τοῦ ο καὶ ι ἐπὶ κινήσεως, οἷον ὅποι ἔρχομαι. **10–12** Lex. Vind. ο 48 οὐδὲν ὅ τι ἀντὶ τοῦ οὐδαμῶς παρὰ Ἀττικοῖς. **15** Hsch. κ 3625 *κορικῶς· γυναικικῶς, ὡς κόρη. **19** Cyr. φ 100 Hag. φιλοτησία· φιλία· δεξίωσις (Syn. φ 125; Su. φ 426; Phot. φ 195). Et. M. s.v. φιλοτησία· φιλία, δεξίωσις διὰ τῆς φιάλης· ἡ κύλιξ, ἣν κατὰ φιλίαν προὔπινον τοῖς φίλοις, οὕτως ἐκαλεῖτο· καὶ φιλοτησίαν προπίνειν ἐστὶν, ἡνίκα τις ἐν ἀρίστῳ ἀπὸ τῆς δοθείσης αὐτῷ φιάλης πιὼν μέρος τὸ λοιπὸν παράσχῃ φίλῳ, χαρισάμενος αὐτῷ καὶ τὴν φιάλην. Cf. schol. VI 51 (p. 153, 28) ad φιλοτησίας.

6 κοίνησιν g **13** margine decurtato initium scholii interiit, supplevi ex. gr. **15** γενεῶς L^1 ut vid. : γυναικικῶς conieci

II 46 (p. 50, 5) ‹γενεᾶς·› γεννήσεως. *L^1*

II 49 (p. 50, 28) ‹λυπρᾶς·› καταξήρου. *T*

II 49 (p. 50, 30) ‹ἀγόνῳ·› ἀκάρπῳ. *p*

II 49 (p. 50, 30) ‹στερίφῃ·› στερρά, ἀνένδοτος. *T*

II 50 (p. 51, 4) ‹ὑπονύξαντες·› πλήξαντες. *T*

II 56 (p. 53, 2) ‹ὕλης·› γράφεται ἰλύος. *F*

III 5 (p. 56, 4) ‹σωφρονεστάτην·› σώφρων καὶ ὁ φρόνιμος, ὡς ὄπισθεν εἶπε· ῥυθμίζει ἡ γυνὴ σωφρονίζουσα τὸν λέοντα (cf. NA III 1, p. 54, 8). σώφρων καὶ ὁ παρὰ τὴν ἰδίαν γυναῖκα ἄλλῃ μὴ συνερχόμενος, ὁμοίως καὶ ἐπὶ τῆς γυναικός, ὡς ἐνταῦθα. *L^1*

III 5 (p. 56, 8) ‹ἀκράτορες·› ἀκόρεστοι. *p*

III 10 (p. 57, 8) ‹τρασιαῖς·› a. τρασιαὶ λέγεται ὁ τόπος ἔνθα Diog τὰ σῦκα ξηραίνεται, παρὰ τὸ τερσαίνειν. ὁ δὲ Σοφοκλῆς ἐν τῷ ἑτέρῳ Ἀμφιαράῳ (fr. 118 R.) ἐπὶ τῆς ἅλω τέθεικεν τὴν λέξιν. *L*

b. τρασιὰ ὁ τόπος ἔνθα τὰ σῦκα τέρσονται· †Εὐριπίδης† δὲ Diog ἐν Ἀμφιαράῳ (Soph. fr. 118 R.) τὴν ἅλω λέγει. *z*

III 13 (p. 58, 13) ‹τὸ σχῆμα τῆς πτήσεως·› αἱ γέρανοι τρίγωνον ὀξυγώνιον ἐν τῇ πτήσει ποιοῦσιν, ἵνα ἐμπίπτουσαι τῷ ἀέρι διακόπτωσιν αὐτὸν ῥᾷστα. *z*

III 13 (p. 58, 17) ‹ἐπιστήμην·› γνῶσιν. *T*

III 13 (p. 58, 19) ‹γενόμεναι κύκλος·› οὐχ ὅλον κύκλον ποιοῦσιν, ἀλλὰ μηνοειδὲς σχῆμα. *L^1*

III 13 (p. 58, 20) ‹μηνοειδές·› κυκλοτερές, ἀπὸ τοῦ μήνη ἡ σελήνη. *p*

III 13 (p. 58, 21) ‹κρούεται·› τὸ κρούεσθαι λέγεται καὶ ἐπὶ ν̣ε̣ὼ̣ς καὶ ἐπὶ πτε̣ρ̣ο̣ῦ, ἐ̣π̣ὶ κρούμ̣α̣τ̣α κρού[ειν]. καὶ ἠχῷ χρῶνται πρὸς ἀναχώρησιν, ὡς ἐν τῷ «πρύμναν ἐκρούσατο» (Plut. Ant. 65, 8 et al.). *L^1*

12–16 Hsch. τ 1272 *τρασιά· ἡ τῶν σύκων ψύκτρα, παρὰ τὸ τερσαίνειν (Eupol. fr. 488 K.-A.). ἤγουν τόπος, ἔνθα ξηραίνουσιν αὐτά (Soph. fr. 118 R.). [Zon.] s.v. τρασίαι· ὁ τόπος, ἔνθα τὰ σῦκα ξηραίνεται. παρὰ τὸ τερσαίνειν, τὸ ξηραίνειν. ὁ δὲ Σοφοκλῆς ἐν τῷ ἑτέρῳ Ἀμφιαράῳ (fr. 118 R.) ἐπὶ τῆς ἅλω τέθεικε τὴν λέξιν. Αἰλιανός (NA III 10)· «ἐν ταῖς τρασίαις κυλίειν φασὶ καὶ τῶν ἰσχάδων τὰς περιπαρείσας».

12 τρασίαι L : correxi **13** σύκα L : corr. De Stefani | Σοφοκλὴς L : corr. De Stefani **14** Ἀμφιαρώω L : corr. De Stefani **26** margine decurtato fere omnia valde incerta | supplevi

III 13 (p. 58, 22) ‹τοῖς πυγαίοις·› ἀντὶ τοῦ τοῖς οὐραίοις. *L*

III 13 (p. 58, 27–28) ἑστᾶσι μὲν ἀσκωλιάζουσαι· ἐνὶ ποδὶ ἱστάμεναι. *z*

Diog **III 13 (p. 58, 28)** ‹ἀσκωλιάζουσαι·› ἐνὶ ποδὶ ἱστάμεναι. τὸ δὲ ἀσκωλιάζειν ἐστὶ κυρίως τὸ ἐπὶ τοὺς ἄσκους ἅλλεσθαι, ἐφ᾽ οὓς ἀληλιμμένους ἐπήδων γελοίου ἕνεκα. τινὲς δὲ καὶ ἐπὶ τῶν συμπεφυκόσι τοῖς σκέλεσιν ἀλλομένων. *FH*

III 15 (p. 59, 19) ‹ἐπ᾽ αὐτῶν·› ἕνεκεν. *T*

III 16 (p. 59, 20) ‹πρὸς τῷ τίκτειν·› πλησίον. *T*

III 16 (p. 60, 3) ‹κονιῶντες·› a. κονιῶντες ἀντὶ τοῦ κόνεως πληροῦντες κατὰ παράχρησιν. κονίω γὰρ τὸ κόνεως πληρῶ, κονιάω δὲ κονιῶ τὸ ἀσβέστῳ χρίω. εὕρηται καὶ ἐν ἑτέροις τὸ κονιῶ ὡς Αἰλιανὸς ἐχρήσατο ἐνταῦθα. L^1

b. κόνεως πληροῦντες. *T*

III 18 (p. 61, 9) ‹ἐν τῇ Ἐρυθρᾷ θαλάττῃ·› ταὐτὸν Ἐρυθρὰ θάλαττα καὶ κόλπος Ἀράβιος. L^1

III 18 (p. 61, 11) ‹ἐν νόμῳ·› κατὰ τὸν νόμον. *T*

III 18 (p. 61, 13) ‹ἐκμεμόρφωται·› εἰς τέλειαν μορφήν. *T*

III 18 (p. 61, 13) ‹εἶδος·› τῆς κεφαλῆς. *T*

III 18 (p. 61, 21) ‹ψαλάττων·› κρούων. L^1

III 20 (p. 62, 3) ‹ἀλέας·› θερμασίας. *p*

III 21 (p. 62, 13) ‹ποδῶν·› a. κατὰ τὴν δύναμιν τῶν ἑαυτῆς ποδῶν. L^1

b. κατὰ τὴν ἑαυτῆς δύναμιν. *T*

III 21 (p. 62, 15–16) ‹ἥκειν δεῦρο·› ἀδυνάτως ἔχειν. *T*

4–7 Hsch. α 7723 ἀσκωλιάζειν· κυρίως μὲν τὸ ἐπὶ τοὺς ἀσκοὺς ἅλλεσθαι, ἐφ᾽ οὓς ἀληλιμμένους ἐπήδων γελοίου ἕνεκεν. Schol. Plat. Symp. 190d6 Cufalo ἀσκωλιάζοντες· ἀσκωλιάζειν κυρίως μὲν τὸ ἐπὶ τοὺς ἀσκοὺς ἅλλεσθαι ἐφ᾽ οὓς ἀληλιμμένους ἐπήδων γελοίου ἕνεκα· τινὲς δὲ καὶ ἐπὶ τῶν συμπεφυκόσι τοῖς σκέλεσιν ἀλλομένων. **10–14** Su. κ 1253 κεκονιαμένοις· ἀσβέστῳ κεχρισμένοις. «οἶνος δὲ ἦν, ὃν ἐν λάκκοις κονιατοῖς εἶχον». Ξενοφῶν φησι (An. IV 2, 22). Cf. scholl. III 42 (p. 70, 19) et VI 1 (p. 130, 18) ad κονιώμενος. **20** Schol. Lyc. 139 ψαλάξεις· κρούσεις, ψηλαφήσεις καὶ ἄνευ σίτου κιθαρίσεις. **21** Cf. schol. V 12 (p. 108, 6) ad ἀλέας.

5 ἀσκοὺς F H **6** ἀλληλειμμένους F ἀλληλιμμένους H | ‹τ›ινὲς H **6–7** ‹σ›υμπεφυκόσι H **7** χείλεσιν F H : correxi | ἀλομένων F

III 21 (p. 62, 20) ‹ἔσαινεν·› a. ἡμέρως ἐκολάκευε τῷ οὐραίῳ. L^1

b. ἡμέρως πως ἐκολάκευε τῇ οὐρᾷ. *T*

III 21 (p. 62, 21) ‹ἠσπάζετο·› τὸ ἀσπάζεσθαι ἐπὶ τοῦ ἀγαπᾶν καὶ τοῦ χαιρετίζ[ειν], νῦν δὲ ἐπὶ τοῦ φιλεῖν τῷ στόματι. L^1

III 21 (p. 62, 27) ‹ἀνέβλεπεν·› σημεῖον ἐπεδείκνυ κατὰ τῆς ἄρκτου. L^1

III 22 (p. 63, 6) ‹ἀβούλως·› ἀσκέπτως. *T*

III 22 (p. 63, 6) ‹ἐκπλήκτως·› μωρῶς. *T*

III 22 (p. 63, 9) ‹τοῦ περιπαγέντος·› τοῦ ἑδρασθέντος. *T*

III 22 (p. 63, 13) ‹ἐν χρήσει·› ἐγχρίμψει ὀφείλει γράφεσθαι ὡς οἶμαι· τὸ γὰρ ἁπαλὸν τῆς μίτυος ἔκκειται, ἤγουν ἀφύλακτον καὶ ἕτοιμόν ἐστι τῇ ἀσπίδι εἰς τὸ πλησιάσαι αὐτῷ. τοῦτο γὰρ δηλοῖ τὸ ἐγχρίμψει τῇ τῆς ἀσπίδος καὶ ἰοῦ μεταδοῦναι. τὸ γὰρ ἄλλο σῶμα τοῦ ἰχνεύμονος συγκεκάλυπται τῷ πηλῷ· ἔστι δὲ εὐθεῖα ἡ ἔγχριμψις. L^1

III 22 (p. 63, 15) ‹ἀποφράξας·› ἀπολέξας. *T*

III 23 (p. 63, 23) ‹ὁ τέλειος·› ὁ πρῶτος τῶν νεοττῶν. L^1

III 24 (p. 64, 20) ‹ὑπαποψήχουσα·› ὁμαλίζουσα. *T*

III 25 (p. 65, 3) ‹παρα‹ρ›ρεῦσαν·› λάθῃ ῥεῦσαν. *T*

III 30 (p. 67, 10) ‹τῶν γὰρ πτερῶν·› ἴσως τὰ ἀπὸ γεννήσεως τὰ λεγόμενα σκυλόματα, ὧν περιρρυέντων, εἶτα ἕτερα τέλεια φύεται καὶ τότε δι᾽ ἐκείνων γνωρίζεται τὸ ὄρνεον. L^1

III 31 (p. 67, 18) ‹δέει·› σπουδάζουσι. *T*

III 33 (p. 68, 4) ‹ἠπειρωτικαί·› a. ἤπειρος ἡ ἀντικειμένη μοῖρα τῇ θαλάττῃ· ἤγουν ἡ ξηρὰ ἰδίως [γ]ῆ, ἡ νῦν λεγομένη Βαγενετία. L^1

b. ἡ Βαγενετία. *T*

III 34 (p. 68, 12) ‹Πτολεμαίῳ τῷ δευτέρῳ·› πρότερος ὁ Λ[άγου], δεύτερο[ς] ὁ Φιλά[δελ]φος. L^1

III 34 (p. 68, 13) ‹οἷος·› θαυμαλέος, μέγας. *T*

1–3 Hsch. σ 51 *σαίνει· κολακεύει, προσηνεύεται. τεινάσσει. ἀσπάζεται θωπεύει. Cyr. σ 4 Hag. σαίνει· κολακεύει. **4–5** Syn. α 2251 ἀσπάζεσθαι· καὶ τὸ προσαγορεύειν, ὡς ἡμεῖς, καὶ τὸ χαίρειν τινὶ ἁπλῶς καὶ ἀγαπᾶν καὶ φιλοφρονεῖσθαι.

5 supplevi **18** ζήτει ante ὁ πρῶτος add. L^1 **26** supplevi **30** supplevi

III 36 (p. 68, 26) ‹καταγνῶναι·› a. ἀκριβῶς καταλαβεῖν. *L*[1]

b. μαθεῖν ἀκριβῶς. *T*

III 37 (p. 69, 1) ‹βάτραχοι·› a. οἱ Σερίφιοι βάτραχοι τὸ παράπαν οὐ φθέγγονται, αἰτία δὲ ὡς φησὶ Θεόφραστος (cf. fr. 186 Wimmer = 355A Sharples) ἡ ψυχρότης τοῦ ὕδατος· καὶ ἐν τῷ Σερίφῳ μὲν οὐ φθέγγονται, ἀλλαχόσε δὲ κομισθέντες διάτορόν τε καὶ τραχύτατον ἠχοῦσιν. *z*

b. Σερίφιος βάτραχος· παροιμία ἐπὶ τῶν ἀφώνων. *T*

III 37 (p. 69, 10) ‹ἐρεσχελεῖν·› a. ἐνοχλεῖν· ἐν ἄλλοις ἐρεσχελεῖν τὸ ὑβρίζειν. *L*[1]

b. ὀχλεῖν, διαπαίζειν. *T*

III 37 (p. 69, 12) ‹τῷ πατρί·› τῷ Διὶ δηλονότι. *L*[1]

III 39 (p. 70, 1) ‹τυφλοί·› νεκροί· ἀργὸν ποιεῖ. *L*[1]

III 42 (p. 70, 19) ‹κονιώμενος·› κόνεως πληρούμενον. *L*[1]*T*

III 42 (p. 70, 21) ‹ἀριθμόν·› a. ἀντὶ τοῦ ποσόν· ἐπεὶ γὰρ τὸ ποσὸν διαιρεῖται εἰς τὸ συνεχὲς καὶ εἰς τὸ διῃρημένον, ἀντὶ τοῦ εἰπεῖν ποσὸν εἶπεν ἀριθμόν. *L*[1]

b. ποσόν. *T*

III 44 (p. 71, 17) ‹συμπνεύσαντες·› πνεῦμα πέμψαντες. *T*

III 44 (p. 71, 19) ‹ἐποφθαλμιάσωσιν·› a. ἐπιστηρίσωσι τοὺς ὀφθαλμοὺς ἐρωτικῶς. *L*[1]

b. ἐρωτικῶς ὀφθαλμὸν ἐπιβάλλειν. *T*

III 44 (p. 71, 20) ‹περιέρχονται·› a. κολάζουσιν. *L*[1]

b. περικολάζουσιν. *T*

III 45 (p. 71, 28) ‹συνθεῖν·› εἰ συνωθ̣[εῖν] γράφ[εται], ἀλωμ̣[ένας] γραπτ[έον]. *L*[1]

III 45 (p. 72, 1) ‹ἐπῳάζειν·› ἐπικάθηνται τοῖς ᾠοῖς. *T*

III 46 (p. 72, 16) ‹πωλευτής·› γυμναστής, πωλοδάμνης. *T*

8 Diogen. Paroem. cent. 3, 44 βάτραχος Σερίφιος· ἐπὶ τῶν ἀφώνων. οἱ γὰρ ἐν Σερίφῳ βάτραχοι οὐ φθέγγονται. **9–11** Hsch. ε 5736 ἐρεσχελεῖ· ἀηδίζεται. ὀχλεῖται. ἐρεθίζει. ἀδολεσχεῖ. *χλευάζει, παίζει, σκώπτει. διαμάχεται. **14** Cf. schol. III 16 (p. 60, 3) ad κονιῶντες et VI 1 (p. 130, 18) ad κονιώμενος. **20–22** Cf. schol. I 11 (p. 7, 10) ad ἐποφθαλμιάσαντες. **22** Cf. schol. I 11 (p. 7, 10) ad ἐποφθαλμιάσαντες. **27** Cyr. ε 893 Hag. ἐπῳάζουσαν· ἐπὶ τοῖς ᾠοῖς καθημένην. Su. ε 2828 ἐπῳάζειν· τὸ ἐπὶ τοῖς ᾠοῖς καθέζεσθαι τὰ ὄρνεα. Cf. schol. IV 39 (p. 90, 2) ad ἐπῳάζει.

14 πληροῦντα T **25–26** supplevi

III 46 (p. 73, 6) ‹ταγήνου·› τάγηνον τὸ ζῷον τὸ λεγόμενον ταγηνάριν· τάγηνον τὸ λεγόμενον τηγάνιν. ἐνταῦθα δοκεῖ τὸ αὐτόν. L^1

IV 1 (p. 74, 10) ‹χωροῦντος·› τοῦ ἀντιπάλου δηλονότι. L^1T

IV 1 (p. 74, 13) ‹παιδικά·› παιδικὰ ἔχει τις τόδε τὸ μειράκιον, ἢ ἁπλῶς οὗ ἐρᾷ. Αἰλιανός· «ἀκούω Κρῆτα ἀγαθὸν ἔχειν μὲν παιδικὰ εὐγενὲς μειράκιον». Συνέσιος (Epist. 99, 4–5)· «Σοί τε καὶ Διογένει τοῖς σοῖς παιδικοῖς»· ἤγουν τῷ σῷ φίλῳ. *z*

IV 1 (p. 74, 25) ‹περιστεῖλαι·› θάψαι. *T*

IV 2 (p. 75, 3) ‹ἐν Ἔρυκι·› Ἔρυξ Ἔρυκος τόπος ἐν Σικελίᾳ, καὶ οἱ ἀπὸ τούτου Ἐρυκῖνοι. *z*

IV 2 (p. 75, 3) ‹Ἐρύκῃ·› γράφεται Ἔρυκι. L^1

IV 4 (p. 75, 25) ‹ἀπολαύουσιν·› ἀπαλλάττονται. *F*

IV 5 (p. 76, 3) ‹ἀκανθυλλίδι·› τὸ λεγόμενον σκαθίν. L^1

IV 7 (p. 76, 9) ‹κατηνέμοις·› τοῖς ὑπ᾽ ἀνέμων καταπνεομένοις. L^1

IV 7 (p. 76, 14) ‹ἐξηνεμῶσθαι·› a. οἱονεὶ ἀλλοιοῦσθαι ἐξ ἵππων εἰς ἀνέμου φύσιν κατὰ τὴν ταχυτῆτα. L^1

b. κινηθῆναι ἑαυτοῦ νόμου. *T*

IV 8 (p. 76, 25) ‹παραβάλλειν·› πλησίον θεῖναι. *T*

IV 8 (p. 77, 1) ‹ἐγχρίμπτεσθαι ἀλλήλοις·› ἐπὶ συνουσίᾳ πλησιάζειν ἀλλήλοις. L^1

IV 9 (p. 77, 8) ‹ὡρικωτέρας·› ὡραίας. L^1

IV 10 (p. 77, 16) ‹διὰ τοῦ ἦρος·› διόλου. *T*

1–3 Lex. spir. p. 192 ἀτταγὴν, εἶδος ὄρνιθος καταστίκτου, τὸ λεγόμενον ταγηνάριον. Su. τ 10 ταγήν· ὄνομα ὀρνέου.τ 12 τάγηνον· τὸ τηγάνιον. [Zon.] s.v. ταγὴν, ταγῆνος· τὸ τηγάνιον, ἰωνικῶς. Schol. Aristoph. Eq. 929c τάγηνον· τηγάνιον. **9** Schol. Soph. Ai. 922b συνταφιάσαι, βαστάσαι, περιστεῖλαι, θάψαι. **10–11** Steph. Byz. ε 135 Ἔρυξ· πόλις Σικελίας. ἀρσενικῶς, ἀπὸ Ἔρυκος τοῦ Ἀφροδίτης καὶ Βύτου. τὸ ἐθνικὸν Ἐρυκῖνος. καὶ Ἐρυκίνη Ἀφροδίτη ἐν Ῥώμῃ καὶ Σικελίᾳ. **15–16** Schol. Hom. Od. III 172 ἠνεμόεντα· ὑψηλόν, τὸν ὑπ᾽ ἀνέμων καταπνεόμενον. **20** Cf. schol. XI 1 (p. 258, 8) ad παραβάλλει. **21–22** Hsch. ε 363 *ἐγχρίμψαι· πλησιάσαι. ψαῦσαι, ἐγγίσαι. **23** Schol. Aristoph. Ach. 272a ὡρικὴν ὑληφόρον· ἀντὶ τοῦ ὡραίαν καὶ ἀκμαίαν.

4 δηλονότι om. T **5** ἔχοι z : correxi **11** Ἐρυκηνοί z : correxi **14** σκαθίν vocabulum novum

IV 14 (p. 78, 11) ‹οἱ τοροί·› a. οἱ μεγαλό[φωνοι,] οἳ διάτορον καὶ μέγα ᾄδου[σι]. L^1

b. οἱ μεγαλόφωνοι. *T*

IV 14 (p. 78, 19) ‹ἀβρώτους·› ἀσίτους. L^1T

IV 17 (p. 79, 11) ‹παλεύουσιν·› ἀπατῶσιν. L^1T

IV 18 (p. 80, 6) ‹ἡ λύγξ·› ζήτει λύ‹γ›ξ. L^1

IV 18 (p. 80, 8) ‹συμμάχεται·› συγκροτεῖ, συνεργεῖ. *T*

IV 19 (p. 80, 9) ‹ἔντομα·› οἷον σφήξ, μέλισσα, μυῖα καὶ τὰ τοιαῦτα. L^1

IV 22 (p. 81, 1) θηρίον Ἰνδικόν· ὁ μαρτιχόρας, ἀνθρωπόμορφον, χαίρει δὲ ἐμπιπλάμενον ἀνθρωπείων κρεῶν, κατηγορεῖ αὐτοῦ καὶ τοὔνομα· ἑρμηνεύεται γὰρ τῇ Ἑλλήνων φωνῇ ὁ μαρτιχόρας Ἰνδικὸν ὄνομα ἀνθρωποφάγος. *z*

IV 22 (p. 81, 17) ‹ἀποτάδην·› ἀποτόμως. *p*

IV 22 (p. 81, 22) ‹φιληδεῖ·› γράφεται φιλεῖ· ὃ κρεῖττον Ἀριστοφάνης «φιλεῖς δὲ δρῶσα» (Plut. 645). L^1

IV 24 (p. 82, 11) ‹καρπὸν δὲ ἰτέας·› καρποῦ ἰτέας θλιβέντος, εἴ τις πίει ἄνθρωπος, τὴν σπορὰν τὴν παιδοποιόν τε καὶ ἔγκαρπον ἀπώλεσεν. Ὅμηρος (Od. X 510)· «ἰτέαι ὠλεσίκαρποι». *z*

IV 24 (p. 82, 16) ‹κωνείου·› ὁ ζυμὸς τῆς μαγκούνης. L^1

plan **IV 26 (p. 83, 1)** ἀλοητός· ὁ καιρὸς ἐν ᾧ ἀλοῶσι. *hlmnsy*

plan **IV 26 (p. 83, 1)** ‹στρέφωνται·› ὅταν κινῶνται. *y*

plan **IV 26 (p. 83, 1)** ‹δῖνον·› a. δῖνος ἡ κύκλῳ στροφή, ἀπὸ

1–3 Hsch. τ 1175 *τορόν· λιθ‹οκοπ›ικὸν σκεῦος (Philyll. fr. 17 K.-A.). ἢ μεγαλόφωνον (Cyr. in Esai. 70, 1193A). **4** Poll. On. VI 39 ἄβρωτος δ' ὁ νῆστις παρὰ Σοφοκλεῖ (fr. 967 R.), καὶ ἀβρωσία ἡ ἀσιτία. **5** Su. η 290 ἡμένη πελειάς· ἐπὶ τῶν ἁπλουστάτων, κατὰ ἀντιπαρεξέτασιν τῆς παλευτρίας. αἱ γὰρ ἐξιπτάμεναι ἀπατῶσιν ἑτέρας· παλεῦσαι γὰρ τὸ ἀπατῆσαι σημαίνει. [Zon.] s.v. παλεύσει· ἀπατήσει. **20** [Neoph.] Lex. bot. p. 288, 19–20 κώνειον τὸ τῆς μαγγούνας σπέρμα. **21** Moschop. Sched. p. 246 τρυγητὸς ὁ χρόνος ἐν ᾧ τρυγῶσι καὶ ἀλοητὸς ἐν ᾧ ἀλοῶσι. Schol. Hes. Op. 386 (pp. 254, 1–2 Gaisford) ἀλοητὸς ὁ καιρὸς ὅτε ἀλοῶσι, καὶ ὁ καρπὸς ὁ ἀλοώμενος, καὶ τὸ ἀλοᾶν. **23–81,9** [Moschop.] Voc. Att. s.v. δῖνος ἡ κύκλῳ συστροφή, ἀπὸ τούτου καὶ τὸ κύκλῳ στρεφόμενον σῶμα δῖνος. οἷον οὐρανός. καὶ τὸ κυκλικὸν μὲν σῶμα, οὐ μὴν δὲ στρεφόμενον οὕτω λέγεται διὰ τὸ κυκλικὸς τὰ ἄλλα στρέφεσθαι ἐν αὐτῷ.

1–2 supplevi **6** λύξ L^1 : correxi **20** ζυμὸς vocabulum novum **21** lemma om. hmnsy | ὁ om. m

τούτου καὶ τὸ κύκλῳ στρεφόμενον σῶμα δῖνος λέγεται, οἷον ὁ οὐρανός. καὶ τὸ κυκλικὸν μὲν σῶμα, οὐ μὴν δὲ στρεφόμενον οὕτω λέγεται διὰ τὸ κυκλικῶς τὰ ἄλλα στρέφεσθαι ἐν αὐτῷ. *hlmns*

b. δῖνος ἡ κύκλῳ στροφή, ἀπὸ τούτου καὶ τὸ κύκλῳ στρε- plan
φόμενον σῶμα δῖνος λέγεται, οἷον ὁ οὐρανός. καὶ τὸ κυκλικὸν μὲν σῶμα, οὐ μὴν δὲ στρεφόμενον, ὥσπερ τὸ ἀλώνιον κυκλικόν ἐστι σῶμα. οὐ μὴν δὲ στρέφεται καὶ κινεῖται τὸ ἀλώνιον. λέγεται δὲ καὶ τοῦτο δῖνος διὰ τὸ κυκλικῶς τὰ ἄλλα ζῷα στρέφεσθαι ἐν αὐτῷ. *y*

IV 26 (p. 83, 2) ‹πεπληρωμένη·› πεπληρωμένον τὸ γεγεμι- plan
σμένον καὶ τὸ τετελειωμένον. *hlmns*

IV 26 (p. 83, 2) ‹ἄλως·› τὸ κοινῶς ἀλώνιον, ἀφ᾽ οὗ ἀλωὴ τὸ plan
ἀλωνοτόπιον. *hlmnsy*

IV 26 (p. 83, 3) ‹ἀπογεύεσθαι·› μετρίως ἅπτεσθαι. *y* plan

IV 26 (p. 83, 3) ‹βολβίτῳ·› a. βόλβιτος ἡ τῶν βοῶν plan
κόπρος. *l*

b. κόπρῳ βοός. *hnsy* plan

IV 26 (p. 83, 4) ‹σόφισμα·› a. μηχανήν. *hmns* plan

b. σόφισμα τὸ σοφὸν καὶ ἡ μηχανὴ καὶ ὁ παραλογι- plan
σμός. *hlmns*

c. σόφισμα λέγεται ἡ μηχανή, σόφισμα τὸ σοφόν, σόφισμα plan
καὶ ὁ παραλογισμὸς καὶ ἡ ἀπάτη. *y*

d. σοφὸν μηχάνημα. *y* plan

10–11 Schol. Eur. Hec. 230 (ed. Dindorf) πλήρης· πεπληρωμένος. γεγεμισμένος. Schol. Opp. Hal. I 796 περιπληθής· πληρουμένη, στενοχωρουμένη, γεγεμισμένη, πεπληρωμένη. **12–13** Lex. spir. p. 190 ἄλως, τὸ ἀλώνιον. [Zon.] s.v. ἄλως· τὸ ἀλώνιον. παρὰ τὴν τῶν ἀσταχύων ἀλοίησιν καὶ συντριβήν. Moschop. Comm. Hes. Op. 805 ἐν ἀλωῇ εὐτροχάλῳ, ἤγουν ἀλωνοτοπίῳ ὁμαλῷ. **14** Cf. schol. IV 26 (p. 83, 6) ad ἀπογεύσαιτο. **15–17** [Hdn.] Epim. p. 8 βόλβιτον, ἡ τῶν βοῶν κόπρος. Schol. Aristoph. Ach. 1026c ὅτι οἱ Ἀττικοὶ οὕτω λέγουσι βόλιτον χωρὶς τοῦ β, ὅπερ ἡμεῖς βόλβιτόν φαμεν. ἔστι δὲ ἡ κόπρος τῶν βοῶν. **18–23** Schol. Aeschyl. Prom. 459 (ed. Dindorf) ἔξοχον σοφισμάτων· ὑπέρτατον τῶν ἄλλων μηχανημάτων. Schol. Eur. Phoen. 871 (ed. Dindorf) θεῶν σόφισμα· παραλογισμός, παραίνεσις εἰς τὸ μὴ παραβῆναι τὸ θεῖον.

2 μὲν τὸ σῶμα s **3** καὶ ante διὰ τὸ κυκλικῶς add. n **5** οἷον ὁ ἄνθρωπος y : correxi **11** τὸ om. m **12** ἄλως ante τὸ κοινῶς add. l τὸ κοινῶς h m n s ἤ ἄλως ἐστὶ τὸ κοινῶς y **13** ἀλωνοτόποιον n

plan **IV 26 (p. 83, 4)** ‹ἐπινοήσαντες·› ἐξευρόντες. *y*
plan **IV 26 (p. 83, 4)** ‹μάλα·› λίαν. *hmnsy*
plan **IV 26 (p. 83, 4)** ‹ἐπιτήδειον·› δεξιόν. *y*
plan **IV 26 (p. 83, 5)** ‹τοῦτο γάρ·› ὁ βοῦς. *y*
plan **IV 26 (p. 83, 5)** ‹μυσαττόμενον·› βδελυττόμενον. *hmnsy*
plan **IV 26 (p. 83, 6)** ‹ἀπογεύσαιτο·› μετρίως ἅψαιτο. *y*
plan **IV 26 (p. 83, 6)** ‹βαρυτάτῳ·› χαλεπωτάτῳ. *y*
plan **IV 26 (p. 83, 6)** ‹πιέζοιτο·› ἐκθλίβοιτο, τήκοιτο. *hmnsy*

IV 27 (p. 83, 15) ‹ἐφολκόν·› ἐπαγωγόν. *T*

IV 29 (p. 85, 2) ‹τὴν διπλῆν·› Ἀπόλλωνα καὶ Ἄρτεμιν. *L*[1]

IV 29 (p. 85, 9) ‹κατέσταλται·› τεταπείνωται. *T*

IV 31 (p. 86, 3) ‹ἀναπτερυγίσαι·› κινῆσαι τὰ πτερά. *T*

IV 32 (p. 86, 11) ‹παγχρηστότερον·› πᾶσαν χρείαν ὠφελιμώτερον. *T*

IV 33 (p. 86, 24) ‹προβατίαι·› προβατείας λέγει Δίων ὁ Προυσαῖος (Or. X 19) τὴν περὶ τὰ πρόβατα τέχνην. *L*[1]

IV 34 (p. 87, 9) ‹ἐπιστρέφει·› στρέφει ἐπὶ τὸν ὄφιν. σκεπτέον δὲ μήποτε ἡ πρόθεσις ὑστεροχρονίαν δηλοῖ, ἤγουν μετὰ τὸ δακεῖν τὸ κάρφος στρέφει ἑαυτόν. *L*[1]

IV 35 (p. 87, 23) ‹γενεᾶς·› γεννήσεως. *L*[1]

IV 35 (p. 88, 5) ‹γυρώτερος·› χυρτώτερος. *T*

IV 37 (p. 88, 24) ‹τῷ θανάτῳ ἰόντας·› τοὺς ἀνθρώπους. *T*

IV 37 (p. 88, 28–29) ‹περιηγοῦνται·› λέγουσι. *T*

IV 37 (p. 88, 29) ‹οὐχ ὡς εἰπεῖν·› ἁπλῶς. *T*

IV 37 (p. 89, 17) ‹σπασμός·› κίνησις μᾶλλον ἀπροαίρετος. *L*[1]

2 Hsch. μ 143 μάλα βούλεται· πάνυ, σφόδρα, λίαν, μάλιστα, ἄγαν. [Zon.] s.v. μάλα· ἀντὶ τοῦ πάνυ καὶ λίαν. καὶ μάλιστα. Cf. schol. IV 59 (p. 99, 12) ad μάλα. **5** Hsch. μ 1936 *μυσαττόμενος· σικχαινόμενος. βδελυττόμενος. ἀποστρεφόμενος. Cyr. μ 281 Hag. μυσαττόμενος· βδελυττόμενος. **6** Cf. schol. IV 26 (p. 83, 3) ad ἀπογεύεσθαι. **8** Hsch. π 2255 πιέζειν· κατέχειν. θλίβειν, σφίγγειν. μαλάσσειν. *βαρεῖν (Hom. Od. IV 419). **9** Cf. schol. I 11 (p. 7, 15) ad ἐφολκόν. **21** Hsch. γ 1027 γυρόν· κατακεκαμμένον. *χυρτόν, στρογγύλον. **25–26** Steph. Comm. Hipp. Progn. 1, 5 καλῶς δὲ λοιπὸν ὡρίσαντο οἱ εἰπόντες τὸν σπασμὸν κίνησιν ἀπροαίρετον ἐν προαιρετικοῖς μορίοις συνισταμένην· ἀμφότερα γὰρ περιλαμβάνει ὁ ὁρισμὸς οὗτος. Cf. schol. IV 53 (p. 96, 24) ad σπασμῷ.

8 θλίβοιτο n s y **21** χυρτότερος legendum

IV 39 (p. 90, 2) ‹ἐπῳάζει·› ἐπικάθηται. *T*

IV 40 (p. 90, 22) ‹προσαναλέξασαι·› συνάξασαι. *T*

IV 41 (p. 90, 26) ‹δραμὼν δὲ ἐπὶ πλέον·› εὕρηται [ ] δραμὼν δὲ ἐπὶ πλέον ὁ δεῖνα ἀντὶ τοῦ εἰς μακρότερον ἐλθὼν χρόνον εἴρηκεν, ἐμοὶ δὲ ἐπὶ δρόμον δοκεῖ. *L*[1]

IV 41 (p. 91, 3) ‹καταγοητευθέντος·› κατασκευασθέντος εἰς ἡδονὴν ἐφελκυστικήν. *L*[1]

IV 42 (p. 91, 13) ‹σανδαράκην·› σανδαράκ[ι]νον κατ᾽ ἰατροὺς τὸ ἀ[ρ]σενίκι[ον], ὅπερ κα[ὶ ἀ]ττικόν. καὶ ζήτει. *L*[1]

IV 43 (p. 92, 19) ‹ἐντακῆναι·› ἐμμεῖναι. *T*

IV 45 (p. 93, 18) ‹ἐρυθήματα·› ἐρυθήματα ἀντὶ τοῦ μυστήρια, πράγματα ἄρρητα οἷς ἕπεται αἰσχύνη. ἐπεὶ δὲ ἡ αἰδὼς γένος ἐστὶ καὶ διαιρεῖται εἰς ἐρύθημα καὶ αἰσχύνην, καὶ τὸ μὲν ἐρυθριᾶν ἐστιν ἴδιον ἐπαινουμένων, τὸ δὲ αἰσχύνεσθαι ἕπεται τοῖς ἐλεγχομένοις ἐπὶ κακοῖς, οὗτος χρῆται εἴδει ἀντὶ εἴδους. *L*[1]

IV 45 (p. 93, 20) ‹ἐξέπτυσε·› ἐξεῖπεν. *T*

IV 46 (p. 93, 24) ‹πεπωλευμένος·› πεπαιδευμένος. *T*

IV 47 (p. 94, 23) ‹ἐπιχωρίοις·› ἱματίοις δηλονότι. *L*[1]*T*

IV 50 (p. 95, 28) ‹τοῖς προσθίοις·› ἐμπροσθίοις. *y* plan

IV 50 (p. 95, 28) ‹τοῖς κατόπιν·› ὀπίσω ποσί. *y* plan

IV 50 (p. 95, 28) ‹τέτταρας·› ἔχει δακτύλους. *y* plan

IV 50 (p. 95, 28) ‹ἡ δὲ θήλεια·› πόρδαλις. *y* plan

IV 50 (p. 95, 28) ‹εὐρωστοτέρα·› ἰσχυροτέρα. *hmnsy* plan

IV 50 (p. 95, 29) ‹γεύσηται·› ἅψηται διὰ γλώττης. *y* plan

IV 50 (p. 95, 29) ‹ἀγνοοῦσα·› οὐ γινώσκουσα. *y* plan

IV 50 (p. 95, 30) ‹πόα·› βοτάνη. *hmnsy* plan

1 Cf. schol. III 45 (p. 72, 1) ad ἐπῳάζειν. **17** Hsch. π 4492 πωλεύειν· παιδεύειν πώλους. **23** Hsch. ε 7167 *εὐρώστως· ὑγιῶς. ἰσχυρῶς (Sap. VIII 1). **26** Hsch. π 2655 *πόα· βοτάνη ἑκάστη. Cyr. π 401 Hag. πόα· ἑκάστη βοτάνη οὕτω λέγεται, ἡ δὲ σμήχουσα ποία κέκληται παρὰ Δημοσθένει καὶ Λυσίᾳ.

3 post εὕρηται margine decurtato circiter 70 litterae interierunt **8–9** supplevi **18** δηλονότι om. T **23** ἰσχυροτέρα ἐστί y

plan **IV 50 (p. 95, 30)** ἀποπάτημα· a. ἀποπατεῖν καὶ ἐκκρίνειν τὸ τὰ περιττὰ τῆς γαστρὸς ὑπάγειν, ἤγουν τὸ χέζειν, καὶ ἀποπάτημα τὸ χεζόμενον. γράφεται καὶ τὸ χέζειν· «ἐλευθέρα Κέρκυρα, χέζ᾽ ὅπου θέλεις» (fr. ia. ad. 9a Diehl). *hlmns*

plan b. ἀποπατεῖν καὶ ἐκκρίνειν λέγεται τὸ τὰ περιττὰ τῆς γαστρὸς ὑπάγειν, ἤγουν τὸ χέζειν, καὶ τὸ χεζόμενον, ἡ κόπρος, λέγεται ἀποπάτημα. γράφεται καὶ τὸ χέζειν· «ἐλευθέρα Κέρκυρα, χέζ᾽ ὅπου θέλεις» (fr. ia. ad. 9a Diehl). *y*

plan c. κόπρον. *y*

plan **IV 50 (p. 95, 30)** ‹πόθεν·› ἀπό τινος τόπου. *y*

plan **IV 50 (p. 95, 31)** ‹ἀνιχνεύσασα·› ζητήσασα καὶ εὑροῦσα. *hmy*

plan **IV 50 (p. 95, 31)** ‹διασώζεται·› τηρεῖται ὑγιής. *y*

plan **IV 51 (p. 96, 1)** ‹βλεφαρίδας·› βλεφαρίδες αἱ τρίχες τῶν βλεφάρων. *hlmnsy*

plan **IV 51 (p. 96, 2)** ‹αἰτίαν·› a. κατηγορίαν. *hm*

plan b. κατηγορίαν· μέμψιν. *Ty*

plan **IV 51 (p. 96, 3)** ‹γράφων·› ζωγραφῶν. *hmnsy*

plan **IV 51 (p. 96, 4)** ‹αἰτίαν·› κατηγορίαν· μέμψιν. *y*

plan **IV 51 (p. 96, 4)** ‹ἐνέγκασθαι·› κομίσασθαι, λαβεῖν. *hmnsy*

1–8 Planud. Epim. ined. (ε^{6} f. 107^{r}, ε^{9} f. 106^{v}) = [Moschop.] Voc. Att. s.v. ἀποπατεῖν καὶ ἐκκρίνειν τὸ τὰ περιττὰ τῆς γαστρὸς ὑπάγειν, ἤγουν [ἤτοι ε^{9}] τὸ χέζειν, καὶ ἀποπάτημα τὸ χεζόμενον. γράφεται δὲ [δὲ om. ε^{6}ε^{9}] καὶ τὸ χέζειν· ὡς τὸ [ὡς τὸ om. ε^{6}ε^{9}] «ἐλευθέρα Κέρκυρα, χέζ᾽ ὅπου θέλεις» (fr. ia. ad. 9a Diehl). **11–12** Hsch. ι 1155 ἰχνεύει· ἐρευνᾷ, ζητεῖ. **14–15** Ptol. Diff. voc. β 54 Palmieri βλέφαρα καὶ βλεφαρίδες διαφέρει. βλέφαρα μέν εἰσιν αὐτὰ τὰ ἐπικλειόμενα τῶν ὀμμάτων δέρματα, βλεφαρίδες δὲ αἱ τρίχες αἱ ἐπὶ ‹τῶν› βλεφάρων. Hsch. β 705 βλεφαρίδες· αἱ ἐν τοῖς ὀφθαλμοῖς τρίχες. **18** Harp. s.v. γραφεύς (p. 81, 8–9 Dindorf = γ 16 Keaney)· ἀντὶ τοῦ ζωγράφος Δημοσθένης κατὰ Μειδίου (21, 147). καὶ γράφειν δὲ τὸ ζωγραφεῖν ἔλεγον (Su. γ 436; Phot. γ 203).

1 lemma add. n | ἀποπατεῖν τὸ ἐκκρίνειν ἤγουν n s **2** ἤτοι τὸ χέζειν s **2–3** ἀποπάτημα τὸ χεζόμενον h m n s ἀποπάτημα τὸ αὐτό l **3–4** γράφεται καὶ τὸ χέζειν· «ἐλευθέρα Κέρκυρα, χέζ᾽ ὅπου θέλεις» om. n s **17** κατηγορίαν om. T **20** κομίσασθαι om. y

IV 51 (p. 96, 4) ‹ἀγαθόν·› a. τὸ ἀγαθὸν μόνον λεγόμενον ἐπὶ ψυχῆς λέγεται, ὡς τὸ καλὸν ἐπὶ σώματος, μετὰ δὲ προσδιορισμοῦ τὸ ἀγαθὸν καὶ ἐπὶ σώματος καὶ τεχνῶν καὶ ἄλλων τοιούτων λέγεται, οἷον ἀγαθὸς τὴν ὄψιν, ἀγαθὸς τὴν φρόνησιν, ἀγαθὸς τήνδε τὴν τέχνην. *hlmns* plan

b. τὸ ἀγαθὸν μόνον λεγόμενον ἐπὶ ψυχῆς λέγεται, ὥσπερ τὸ καλὸν μόνον λεγόμενον ἐπὶ σώματος λέγεται, οἷον καλὸς ὁ δεῖνα, ἤγουν ὡραῖος· μετὰ δὲ προσδιορισμοῦ τὸ ἀγαθὸν καὶ ἐπὶ σώματος καὶ ἐπὶ τεχνῶν καὶ ἐπ᾽ ἄλλων τοιούτων λέγεται, οἷον ἀγαθὸς τὴν ὄψιν, ἤγουν ὡραῖος, καὶ ἀγαθὸς τὴν φρόνησιν καὶ ἀγαθὸς τὴν τέχνην, οἷον ὁ Σίμων σκυτεὺς ἀγαθός, ὁ Ἀπελλῆς ζωγράφος ἀγαθός, ὁ Ἀριστοτέλης ἀγαθὸς φιλόσοφος καὶ ὁ Σωκράτης ἀγαθὸς διαλεκτικός. *y* plan

c. ἄριστον ζωγράφον. *y* plan

IV 51 (p. 96, 5) ‹γράψαι·› ζωγραφῆσαι. *hmnsy* plan

IV 51 (p. 96, 5) ‹σφαλέντα·› πταίσαντα. *y* plan

IV 53 (p. 96, 13) ‹πέπυσμαι·› ἀκούω. *p*

IV 53 (p. 96, 21) ‹ψελλίοις·› βραχιολίοις. *T*

IV 53 (p. 96, 24) ‹σπασμῷ·› κινήσει μᾶλλον ἀπροαιρέτῳ. *L*^{1}

IV 53 (p. 97, 6) ‹διώκειν·› a. τὸ ζητεῖν τινα, καταλαβεῖν τὸν ὄνον. *L*^{1}

b. τινά. *T*

IV 53 (p. 97, 6) ‹ἐκεῖνον·› τὸν ὄνον. *T*

IV 53 (p. 97, 17) ‹τίμημα·› ἡ τιμωρία. *L*^{1}*T*

1–13 Planud. Epim. ined. (ε^6 f. 107^r, ε^9 f. 106^v) = [Moschop.] Voc. Att. s.v. τὸ ἀγαθὸν μόνον λεγόμενον ἐπὶ ψυχῆς λέγεται, ὡς τὸ καλόν ἐπὶ σώματος. μετὰ δὲ προσδιορισμοῦ τὸ ἀγαθὸν καὶ ἐπὶ σώματος καὶ τεχνῶν καὶ ἄλλων τοιούτων λέγεται, οἷον ἀγαθὸς τὴν ὄψιν [ἀγαθὸς τὴν φρόνησιν add. ε^{6}ε^9], ἀγαθὸς τήνδε τὴν τέχνην [ε^{6}ε^9, τήνδε om. Moschop.]. Planud. Epim. pp. 66–67 Lindstam καλὸς μὲν ἐπὶ σώματος, οὗ τὸ ἐναντίον αἰσχρὸς ὁ δυσειδής, ἀγαθὸς ἐπὶ ψυχῆς, οὗ τὸ ἐναντίον κακός. Cf. schol. I 33 (p. 16, 8) ad ἀγαθοί. **16** Hsch. π 4177 *πταίει· πίπτει, ἁμαρτάνει. σφάλλει. **17** Schol. Aristoph. Av. 957 πεπύσθαι· ἀκοῦσαι· πέπυσμαι, ἀκήκοα, ἔμαθον, ἴδον. **19** Cf. schol. IV 37 (p. 89, 17) ad σπασμός. **24** Schol. Aristoph. Plut. 480 (Tzetz.) τίμημα· τιμωρίαν. Thom. Mag. Ecl. p. 350, 4 τίμημα ἡ τιμωρία.

1 λεγόμενον δέ l **3** καὶ ante ἐπὶ σώματος om. n **4–5** ἀγαθὸς δὲ τὴν τέχνην m$^{a.c.}$ s **18** βραχιολείοις T : correxi **24** ἡ om. T

IV 53 (p. 97, 20) ‹περιληφθέν·› κύκλῳ ληφθέν, τὸ περισχεθέν. *T*

IV 53 (p. 97, 23) ‹περιέπουσιν·› φυλάττουσιν. *T*

plan **IV 59 (p. 99, 8)** ‹ὕδρου·› εἶδος ὄφεως ὁ ὕδρος. *hlmnsy*

plan **IV 59 (p. 99, 9)** ‹παραχρῆμα·› a. εὐθύς. *hmns*

plan b. εὐθύς· παρ᾽ αὐτὸ τὸ πρᾶγμα. *y*

plan **IV 59 (p. 99, 9)** ‹ἀπεργάζεσθαι·› ποιεῖν. *nsy*

plan **IV 59 (p. 99, 10)** ‹οἷον τε εἶναι·› δυνατὸν εἶναι. *hmnsy*

plan **IV 59 (p. 99, 10)** ‹προσπελάσαι·› πλησιάσαι. *hmnsy*

plan **IV 59 (p. 99, 10)** ‹καταχεῖσθαι·› ἐπάνω τοῦ τρωθέντος χεῖσθαι. *y*

plan **IV 59 (p. 99, 11)** ‹αὐτός·› a. τὸ αὐτὸς χωρὶς μὲν τοῦ ἄρθρου ἀναφορὰν δηλοῖ, μετὰ δὲ τοῦ ἄρθρου ἐνίοτε μὲν λαμβάνεται ὅτε τὸ αὐτὸ πρόσωπον πάλιν ποιεῖ τι, ἐνίοτε δὲ ὅταν πρᾶγμά τι ἑτέρου πράγματος ἢ ἑαυτοῦ κατ᾽ οὐδὲν παραλλάττῃ. *hlmnsy*

plan b. Ἀριστοτέλης. *y*

plan **IV 59 (p. 99, 11)** ‹ἀχλύν·› a. σκότωσιν. *hmns*

plan b. χεῖσθαι σκότωσιν, ζόφωσιν. *y*

plan **IV 59 (p. 99, 11)** ‹κατὰ τῶν ὀμμάτων·› ἐπάνω τῶν ὀμμάτων. *y*

plan **IV 59 (p. 99, 12)** ‹λύτταν·› μανίαν. *y*

plan **IV 59 (p. 99, 12)** ‹ἐπιγίνεσθαι·› σὺν ἐκείνοις τοῖς πάθεσι. *y*

3 Hsch. π 1663 περιέπει· περιέρχεται. περιεργάζεται. *φυλάττει. θεραπεύει. **4** Hsch. υ 91 *ὕδρος· ὄφις. 92 *ὕδρου· ὄφεως (Hom. Il. II 723) εἶδος. Schol. Arat. 946 ὕδρος εἶδος ὄφεως, ὃς τοὺς βατράχους σιτεῖται, ὡς καὶ παρὰ Νικάνδρῳ (Ther. 411–417). **5–6** Su. π 2452 πρόκα· εὐθύς, παραχρῆμα. **8** Hsch. ο 365 οἷον· *ὁποῖον. μόνον. τρόπον τινά. δυνατόν. καθάπερ. ἢ ποιόν. 372 *οἷόν τε· δυνατόν. Cyr. ο 66 Hag. οἷόν τε· δυνατόν. **9** Schol. Opp. Hal. I 720 ἐγχρίψας· πλησιάσας, προσεγγίσας, προσπελασθείς. **12–15** Schol. Eur. Phoen. 920 (ed. Dindorf) τὸ αὐτὸς χωρὶς μὲν τοῦ ἄρθρου ἀναφορὰν δηλοῖ μόνον, μετὰ δὲ τοῦ ἄρθρου ἐνίοτε μὲν ἀναφορὰν, οἷον ὁ δεῖνα ἐποίησε τόδε, ὁ αὐτὸς ἐποίησε καὶ τόδε, ἐνίοτε δὲ ταυτότητα, ἤγουν ὁμοίωσιν ἀπαράλλακτον, οἷον ὁ δεῖνα ὁ αὐτός ἐστι τῷ δεῖνι. καὶ ἀνὴρ ὅδ᾽ οὐκέτι ὁ αὐτὸς μένει, ἤγουν ἐνήλλακται τὴν γνώμην, καὶ οὐχ ὅπερ ἦν ἤδη πρὸ τούτου, αὐτὸ δὴ τοῦτο ἀπαραλλάκτως φυλάττει. **17–18** Ap. Soph. α 60 ἀχλύς· ἡ τῶν ὀφθαλμῶν σκότωσις (υ 357). **21** [Zon.] s.v. λύσσα καὶ λύττα· ἡ μανία.

4 ὁ ὕδρος om. n s ὁ ὕδρος ante εἶδος ὄφεως transp. y **8** εἶναι om. s **13** ὅταν m **14** ποιῇ m **15** παραλλάττει l n

IV 59 (p. 99, 12) ‹μάλα·› λίαν. *hmy* plan

IV 59 (p. 99, 12) ‹ἰσχυρόν·› δυνατόν. *y* plan

IV 59 (p. 99, 13) ‹ἀπόλλυσθαι·› θνήσκειν. *y* plan

IV 59 (p. 99, 13) ‹διὰ τρίτης·› a. ἡμέρας δηλονότι. *hm* plan

b. ἡμέρας, ἤγουν μετὰ τρίτην ἡμέραν. *y* plan

IV 61 (p. 99, 22) ‹προεγνωκέναι·› προγινώσκειν. *y* plan

IV 61 (p. 99, 22) ‹ἴσασι·› γινώσκουσι. *hmnsy* plan

IV 61 (p. 99, 23) ‹ἐσομένην·› γενησομένην. *hmnsy* plan

IV 61 (p. 99, 23) ‹προμηθέστατα·› προνοητικώτατα. *hmnsy* plan

IV 61 (p. 99, 23) ‹ἐφυλάξαντο·› ἔφυγον. *hmnsy* plan

IV 61 (p. 99, 23) ‹τοῦ καταληφθῆναι·› τοῦ κρατηθῆναι. *hmy* plan

IV 61 (p. 99, 23) ‹δέει·› a. διὰ φόβον. *m* plan

b. φόβῳ, ἤγουν διὰ φόβου. *hnsy* plan

IV 61 (p. 99, 23) ‹ἀποδιδράσκουσι·› a. διαδιδράσκει τις φυλακήν, ἀποδιδράσκει δὲ ὅταν ἀφύλακτος ᾖ. *hlmns* plan

b. διαδιδράσκει τις ὅταν καθειργμένος ᾖ ἐν φυλακῇ, ἀποδιδράσκει δὲ ὅταν ἀφύλακτος ᾖ. *y* plan

c. φεύγουσιν. *y* plan

IV 61 (p. 99, 24) ‹ἀλσώδη·› a. ἄλσος καὶ δρυμὼν καὶ λόχμη τὸ δάσος, ἤγουν τὸ ἐπὶ τῆς ξηρᾶς. ἕλος δὲ τὸ λιμνῶδες καὶ καλαμῶδες. *hlmns* plan

b. ἄλσος, δρυμὼν καὶ λόχμη τὸ δάσος, τὸ σύνδενδρον τὸ ἐπὶ τῆς ξηρᾶς. ἕλος δὲ τὸ λιμνῶδες καὶ καλαμῶδες, τὸ ὑγρότητα ἔχον. *y* plan

1 Cf. schol. IV 26 (p. 83, 4) ad μάλα. **7** Cf. schol. I 2 (p. 2, 16) ad ἴσασι. **8** Hsch. ε 6282 *ἐσομένους· γενησομένους. Cf. schol. I 10 (p. 6, 14) ad ἔσεσθαι. **9** Hsch. π 3576 *προμηθέστεροι· προνοητικώτεροι. **12–13** Hsch. δ 414 *δέει· φόβῳ. χρείᾳ. Cf. scholl. I 15 (p. 9, 10) ad δέους, I 16 (p. 9, 18) ad τοῦ δέους et VIII 9 (p. 197, 20) ad δέα. **14–17** [Moschop.] Voc. Att. s.v. διαδιδράσκει τις φυλακήν, ἀποδιδράσκει δὲ ὅταν ἀφύλακτος ᾖ. Cf. schol. X 12 (p. 237, 7) ad ἀποδιδράσκει. **19–88,1** Planud. Epim. ined. ($ε^6$ f. 107^r) ἄλσος καὶ δρυμὼν καὶ λόχμη τὸ δάσος, ἤγουν τὸ ἐπὶ τῆς ξηρᾶς. ἕλος (scripsi: ἕλκος $ε^6$) δὲ τὸ λιμνῶδες καὶ καλαμῶδες. [Moschop.] Voc. Att. s.v. ἄλσος μὲν καὶ δρυμὼν καὶ λόγχμη (l. λόχμη), τὸ ἐπὶ στερεᾶς γῆς. ἕλος δὲ τὸ λιμνῶδες καὶ καλαμῶδες. Thom. Mag. Ecl. p. 223, 17–19 ἄλσος δὲ καὶ δρυμών καὶ λόχμη ἐπὶ ἀγρίων δένδρων ἱσταμένων ἐπὶ ξηρᾶς· ἕλος δὲ τόπος λιμνώδης καὶ καλαμώδης.

13 ἤγουν διὰ φόβου om. y **14** διδράσκει h m **19** καὶ ante δρυμὼν om. s

plan c. τὰ δάση, τὰ ἐπὶ τῆς γῆς τῆς ξηρᾶς. *y*

plan **IV 61 (p. 99, 24)** ‹χωρία·› τοὺς τόπους. *y*

plan **IV 61 (p. 99, 24)** ‹τὰ δασέα·› τὰ σύνδενδρα. *y*

plan **IV 61 (p. 99, 25)** ‹τὰ δάση·› τὰ σύνδενδρα. *y*

plan **IV 61 (p. 99, 25)** ‹κρησφύγετα·› καταφύγια. *hlnsy*

V 1 (p. 100, 1) ‹γῆν τὴν Παρειανῶν·› a. Παρία γῆ ἡ περὶ τὰς Πηγὰς καὶ Κύζικον· ὡς διατρίψαντος αὐτόθι τοῦ Πάριδος. *L^1*

b. ἐν ἑ[τέρῳ] γῆν [τὴν] Παρ[ι]αν[ῶν]. *L^1*

V 1 (p. 100, 10) ‹ὑμνούμενα·› καλούμενα. *T*

V 3 (p. 102, 5) a. ‹πυγόνος·› πυγὼν πυγόνος, ὁ πῆχυς τοῦ ἀνθρώπου ὁ ἀπὸ ἀγκῶνος μέχρι τῶν δακτύλων. *L^1*

Diog b. ‹πυγόνος·› πήχεως. *FH*

c. ‹πυγῶνος·› πηχυαῖος. *T*

V 3 (p. 102, 13) ‹βρυκῶσι·› γράφεται τρυφῶσι. *FH*

V 3 (p. 102, 26) ‹κρανείας·› κράνειον φυτὸν καὶ τὸ γυμνάσιον, καὶ κράνειος καρπός, δίφθογγον. Κρανίον δὲ τόπος καὶ ἡ κεφαλή, Ι. *A*

V 3 (p. 103, 6) ‹ἐφίεται·› δίδοται. *T*

V 3 (p. 103, 20) ‹φορυτῷ·› ἀπὸ γῆς δηλονότι ἢ τοιαύτης ὕλης. *L^1*

V 5 (p. 104, 4) ‹καθίησι·› κατατείνει εἰς μῆκος τὸ κοινῶς κάλλος αὐτῆς. *L^1T*

V 6 (p. 104, 8) ‹Θρῆσσα·› Θρακική. *L^1*

V 9 (p. 105, 9) ‹ὁμολογοῦσι·› συμφωνοῦσιν, ὁμοιοῦσιν. *T*

V 9 (p. 105, 11) ‹Λοκρόν·› τέττιγα δηλονότι. *L^1*

10–13 Hsch. π 4284 πυγόνος· τοῦ πήχεος. ἔστι δὲ ἡ πυγὼν ἀπὸ ὠλεκράνου ἄχρι τοῦ μικροῦ δακτύλου. [Zon.] s.v. πυγόνος· ἀντὶ τοῦ πήχεος. Αἰλιανός (V 3)· «τετράγωνοι δὲ ἄμφω, πυγόνος δὲ τὸ μῆκος». **15–17** Su. κ 2324 κράνειον· φυτόν. καὶ τὸ γυμνάσιον. καὶ κράνειος καρπός. Κρανίον δὲ τόπος· καὶ ἡ κεφαλή. **19–20** Hsch. φ 802 *φορυτός· φρύγανα, ἄχυρα, καὶ ἀπὸ γῆς αἰρόμενος ὑπὸ ἀνέμου χόρτος, φρυγανῶδες, συρφετός, βόρβορος, ἀκαθαρσία. **23** Su. θ 485 Θρῆσσα· ἡ Θρᾳκικὴ γυνή.

8 supplevi **14** γράφεται om. F **21–22** εἰς μῆκος τὸ κοινῶς κάλλος αὐτῆς om. T

V 11 (p. 106, 19) ‹κυττάροις·› a. αἱ κατατρήσεις τῶν μελισσαίων κηρίων. *L*[1]

b. τῶν κηρίων καὶ σφηκῶν κατατρήσεις. *A*

c. τὰς τρήμας τῶν κηρίων φησί. *a* Diog

d. κύτταροι τὰ τρήματα τῶν κηρίων. *z* Diog

V 11 (p. 106, 20) ‹σχαδόνες·› a. τὰ κηρία τῶν μελισσῶν. ὁ δὲ Παλαμήδης (fr. 6 Bagordo) αἱ νεωστὶ γινόμεναι ἐν τοῖς κηρίοις μέλισσαι. *FHa*

b. σχαδόνες τὰ κηρία, οἱ δὲ τὰς νεωστὶ γενομένας ἐν τοῖς κηρίοις μελίσσας φασίν. *z*

c. τὰ κηρία τῶν μελισσῶν ἐν οἷς κύτταροι γί̣γν̣ο̣ν̣τ̣α̣ι̣, ἐν τούτοις σκώληκες λευκοί. *A*

V 11 (p. 106, 21) ‹ἄφοδοι·› ἄφοδος ὁ ἀπόπατος. ἄφοδος καὶ ἀναχώρησις. *A*

V 11 (p. 107, 4) ‹κάκη·› δειλίᾳ. *L*[1]*T*

V 11 (p. 107, 14) ‹φρῦνοι·› φρῦνος ὁ ἀδιάπλαστος βάτραχος. *A*

V 11 (p. 107, 14) ‹τελμάτων·› τέλμα ὁ πηλώδης τόπος. *A*

1–3 Phot. κ 1267 κύτταρος· ἡ τῆς βαλάνου πυελίς. ἢ τὸ προεξάνθημα τῆς ῥοιᾶς. ἢ ἡ ἐν τοῖς κηρίοις τῶν μελιττῶν πυελὶς καὶ κατάτρησις. Su. κ 2786 κύτταρος· τὸ πῶμα τῆς βαλάνου, ὅπου ἐγκάθηται ἡ βάλανος. ἡ τῆς βαλάνου πυελίς, ἢ τὸ προεξάνθημα τῆς ῥοιᾶς, ἢ ἡ ἐν τοῖς κηρίοις τῶν μελιττῶν πυελὶς καὶ κατάτρησις. 2787 κύτταρος· αἱ τῶν κηρίων καὶ σφηκῶν κατατρήσεις. **4–5** Hsch. κ 4747 κύτταροι· οὕτω τὰς τρήμας τῶν κηρίων ἔφη Ἀχαιός (fr. 50 Snell). τινὲς δὲ σφηκιάς. **6–12** Hsch. σ 2949 σχάδονες· τὰ κηρία τῶν μελισσῶν, ἔνθα οἱ σκώληκες. οἱ δὲ τὴν ὑπερβάλλουσαν ἡδονὴν σχάδονες. **13–14** Su. α 4635 ἀφοδεῦσαι· Πλάτων Ἀδώνισι (fr. 4 K.-A.). καὶ ἄφοδος, ὁ ἀπόπατος. ἐξ οὗ καὶ ἀφοδεύειν. καὶ ἄφοδον, ἀναχώρησιν, ὥσπερ καὶ ἔφοδον τὴν ἐπέλευσιν. **15** Hsch. κ 300 κάκη· δειλία. ἢ κακία· ἀλλὰ τῆς ἐμῆς κάκης (Eur. Med. 1051), κακουχίας. **16–17** Cyr. φ 157 Hag. φρῦνος· βάτραχος. Su. φ 768 φρῦνος· ὁ ἀδιάπλαστος βάτραχος. **18** Cyr. τ 97 Hag. τέλματα· τὰ πηλώδη καὶ τελευταῖα τοῦ ὕδατος. ἢ βόρβορος. Syn. τ 81 τέλμα· τόπος πηλώδης ὕδωρ ἔχων (Su. τ 277; Phot. τ 137).

1–2 μελισσείων L[1] : correxi **4** τρήμας scripsi τρύμας a **6** σχαδόντες ut lemma add. H **6–7** ὁ δὲ Παλαμήδ( ) H a ἤ, ὡς ὁ Παλαμίδ( ) F **7** ἐν τοῖς κηρίοις om. a **8** μέλιτται F **11** χ̣ϋ̣( ) A ut vid. : κύτταροι scripsi γί̣γν̣ο̣ν̣τ̣α̣ι̣ difficile lectu **11–12** ἐν ταύτῃ A ut vid. : correxi

V 11 (p. 107, 16–17) ‹Καδμείαν … νίκην·› ἐπὶ τῆς ἀλυσιτελοῦς νίκης, ἐπεὶ Ἐτεοκλῆς καὶ Πολυνείκης μονομαχήσαντες ἀμφότεροι ἀπώλοντο. ἕτεροι δὲ ἐπὶ τῶν νικώντων μὲν τοὺς πολεμίους, πλείονας δὲ τῶν οἰκείων ἀποβαλλόντων. *A*

V 12 (p. 108, 6) ‹ἀλέας·› θέρμας. *T*

V 12 (p. 108, 9) ‹τὰ μέλη·› ἑαυτῆς. *T*

V 13 (p. 108, 12) ‹διαβήτου·› ἐργαλεῖον ὁ διαβήτης, εὔχρηστος τέχναις πολλαῖς. *A*

V 13 (p. 108, 14) ‹εὐθηνεῖται·› δυνατώτεροι γίνονται. *A*

V 13 (p. 108, 14) σμῆνος· τὸ πλῆθος μελισσῶν. *A*

V 14 (p. 109, 8) ‹ὀδαξησμόν·› a. κνησμόν, ὀδόντων τρισμ[όν]. L^1

b. κνησμός, ὀδόντ̣ω̣ν̣ τρισμός. *A*

V 15 (p. 109, 16) ‹λευστῆρα·› a. λίθοις βαλόντα. L^1

b. τὸν βαλόντα λίθοις. *T*

V 17 (p. 110, 1) ‹ἔστω … γέρας·› τιμηθήσεται. *T*

V 17 (p. 110, 13) ‹λῦτο·› γράφεται λητῶ. *H*

V 21 (p. 111, 12) ‹ψυχάσαι·› a. ἀναψύξαι. L^1

b. σκιὰν ποιῆσαι. *T*

V 21 (p. 111, 25) ‹τὰ Περσῶν βασιλ( )·› γράφεται ποικίλματα. *FH*

V 21 (p. 112, 8) ‹ἐκρίθη·› κατεκρίθη. L^1T

1–4 Su. κ 18 Καδμεία νίκη· ἀποδιδόασι τὴν ἐπὶ τῆς ἀλυσιτελοῦς νίκης· ἐπεὶ Ἐτεοκλῆς καὶ Πολυνείκης μονομαχήσαντες ἀμφότεροι ἀπώλοντο. ἕτεροι δέ φασιν αὐτὴν λέγεσθαι ἐπὶ τῶν νικώντων μὲν τοὺς πολεμίους, πλείονας δὲ τῶν οἰκείων ἀποβαλλόντων. **5** Cf. schol. III 20 (p. 62, 3) ad ἀλέας. **7–8** Su. δ 507 διαβήτης. ἐργαλεῖον ὁ διαβήτης, εὔχρηστος τέχναις πολλαῖς, τῷ λ στοιχείῳ παρεοικώς. **9** Su. ε 3495 εὐθηνούμενοι· ἐπὶ τὸ βέλτιον προκόπτοντες. καὶ κατ' ὀλίγον εὐθηνούμενοι δυνατώτεροι γίνονται τῶν δεξαμένων αὐτούς. **10** Syn. σ 149 σμῆνος· πλῆθος μελισσῶν (Su. σ 735; Phot. σ 401). **11–13** Cf. schol. I 38 (p. 18, 9) ad ὀδαξησμόν. **14–15** Hsch. λ 759 λευστῆρα· φονέα λίθοις ἀναιροῦντα. Et. Gen. B λ 80 λευστῆρα· τὸν λιθοβόλον. Λυκόφρων (Alex. 1187)· λευστῆρα πρῶτος οὕνεκεν ῥίψας πέτρον.

2 Πολ( ) A : Πολυνείκης scripsi **11–12** supplevi

V 22 (p. 112, 12) ‹ψυκτῆρας·› σκεῦος ὁ ψυκτὴρ ἐν ᾧ τὸν οἶνον ψύχουσι. *hlmnsy* plan

V 22 (p. 112, 12) ‹οἱ μύες·› οἱ ποντικοί. *y* plan

V 22 (p. 112, 12) ‹ἐμπέσωσιν·› ἐμβληθῶσιν. *y* plan

V 22 (p. 112, 12–13) ‹ἀνανεῦσαι καὶ ἀνελθεῖν·› ἔξω πεσεῖν τοῦ ψυκτῆρος. *y* plan

V 22 (p. 112, 14) ‹ἐφέλκουσι·› ἐφ' ἑαυτοὺς ἕλκουσι. *hlmnsy* plan

V 22 (p. 112, 15) ‹οὕτω·› κατὰ τοῦτον τὸν τρόπον. *hmy* plan

V 22 (p. 112, 15) ‹τούτους·› τοὺς μύας. *y* plan

V 22 (p. 112, 15) ‹ἐπικουρεῖν·› βοηθεῖν. *hmnsy* plan

V 22 (p. 112, 16) ‹ἐξεπαίδευσεν·› ἔμαθεν αὐτοὺς καὶ ἐδίδαξεν. *y* plan

V 24 (p. 113, 4) ‹βρίθοντος·› βαρύνοντος, βαρείας καὶ δυσκινήτους ποιοῦντος· παρεχρήσατο δέ, βρίθει γὰρ τὸ δένδρον τοῖς καρποῖς, ἀμεταβάτως. L^1T

V 24 (p. 113, 6) ‹προβαλλόμενα·› προβλήματα καὶ φυλακὰς ἔχουσι. *T*

V 26 (p. 113, 16) ‹κατέχοντα·› ἐπιφέροντα. *T*

V 26 (p. 113, 17) ‹ἐπιβάλλοντα·› ἐπάγοντα. *T*

V 26 (p. 113, 18) ‹διαψεύσαιτο·› ψεύστην ποιήσαιτο. *T*

V 29 (p. 115, 5) ‹σοφίας·› φρονήσεως. L^1

V 31 (p. 115, 17) ‹ἴδια·› ἴδιον τὸ μόνου τινὸς ὄν· ἀφ' οὗ ἰδιότης, ἐπὶ θηλυκοῦ διὰ τοῦ Ο μικροῦ, καὶ ἰδιώτης, ἐπὶ ἀρσενικοῦ διὰ τοῦ Ω μεγάλου, ὁ μὴ ἐπὶ τῶν κοινῶν πραγμάτων τεταγμένος καὶ ἐπὶ τῶν μὴ μετεχόντων τέχνης τινὸς ἢ ἐπιστήμης. Ι τὰ δύο, ἥδιον δὲ τὸ εὐφραντότερον, Η καὶ Ι. *fgnq* mosch

1–2 Planud. Epim. p. 65 Lindstam ψυκτὴρ δὲ ὁ σκεῦος, ἐν ᾧ τὸν οἶνον ἔψυχον, τὸ κοινῶς λεγόμενον κρυωτήριον. **4** Cf schol. II 29 (p. 43, 4) ad ἐμπεσοῦσα. **10** Et. M. s.v. ἐπικουρεῖν· τὸ βοηθεῖν. **13–15** Lex. Vind. β 4 βρίθει ἀντὶ τοῦ βαρύς ἐστι. καὶ βρίθει τὸ δένδρον τοῖς καρποῖς ἀντὶ τοῦ βαρύνεται. **26** [Zon.] s.v. ἡδεῖα· εὐφραντή, ἐρασμία.

1 ὁ ψυκτὴρ ante σκεῦος transp. y | ὁ ψυκτὴρ om. n s **7** εἰς ἑαυτοὺς n s ἕλκωσι s **13–15** βαρείας – ἀμεταβάτως om. T **22** μόνον τινὸς g **23** καὶ ante ἰδιότης add. n **25** μὴ ἐχόντων n **26** εὐφραντόν n

mosch **V 31 (p. 115, 17)** ‹κεκλήρωται·› a. κλῆρος τὰ πατρικὰ πράγματα, ἀπὸ τοῦ καλεῖν. ἀφ᾽ οὗ κληρονομία ἐπὶ τῆς διανομῆς τοῦ κλήρου ἐπὶ τοὺς προσήκοντας, καὶ κληρονόμος ὁ μετέχων αὐτοῦ, καὶ κλῆρος ἐπὶ τῶν κινουμένων ἐπὶ κόρυθος ἐπὶ τῷ δεῖξαι τὶς ἂν λαχὼν μονομαχήσῃ ἢ ἐπὶ μερισμοῦ τὶ ἂν λάβῃ ἤ τι τοιοῦτον. ἀπὸ μεταφορᾶς τούτου κεκλήρωται τῷ δεῖνι τόδε καὶ ἀποκεκλήρωται. *fgnq*

mosch b. ἔλαχον. *n*

mosch **V 31 (p. 115, 18)** ‹φάρυγγι·› a. φάρυγξ καὶ λάρυγξ ταὐτό· τὸ μὲν δι᾽ οὗ φέρεται ἡ ἐρυγή, τὸ δὲ δι᾽ οὗ ἐλαύνεται αὕτη· διὸ καὶ διὰ τοῦ Υ ψιλοῦ γράφεται ὡς ἀπὸ τοῦ ἤρυγον. ἀπὸ τοῦ λάρυγξ τὸ λαρυγγίζειν, ὡς ἀπολαυστικὸν δὲ τοῦτο τὸ μέρος, λέγεται καὶ λαιμὸς καὶ θώραξ κοινῶς, καὶ λαυκανίη ποιητικῶς. *fgnq*

mosch b. λαιμῷ. *n*

mosch **V 31 (p. 115, 18)** ‹τὴν δὲ χολήν·› ἀπὸ τῆς χολῆς τὸ χολᾶν καὶ ὁ χόλος ποιητικῶς, ὃ κοινῶς λέγεται θυμὸς καὶ ὀργή· τὸ μὲν ἀπὸ τοῦ θύειν τὸ δίκην μαινομένου ὁρμᾶν, τὸ δὲ ἀπὸ τοῦ ὀρέγεσθαι, ὄρεξις γὰρ ἀντιλυπήσεως ἡ ὀργή. *fgnq*

mosch **V 31 (p. 115, 18)** ‹τῇ οὐρᾷ·› τὴν οὐράν. *n*

mosch **V 31 (p. 115, 20)** ‹φέρει·› φέρει τίς τι κυρίως βαστάζων αὐτὸς αὐτό, κομίζει δι᾽ ὑποζυγίων· ἄγει δὲ τὰ ἔμψυχα, ὅθεν ἀγωγὴ ἡ ἀνατροφὴ καὶ παίδευσις. καὶ ἐπὶ τῶν ἐναγομένων ὑπό τινων εἰς δικαστήριον κυρίως διὰ χρέος, ὧν ὁ μὲν ἐνάγων λέγεται, ὁ δὲ ἐνα-

1–2 Eust. in Il. v. 2 p. 435, 7–9 κλῆρος δὲ λέγεται νῦν μὲν ἀπὸ τοῦ καλεῖν τινα εἰς ἔριν πολέμου, ἄλλως δὲ ἁπλῶς ἐν τῷ καθόλου ἀπὸ τοῦ καλεῖν τινα εἰς προκείμενον ἔργον ἢ πρᾶγμα. **15–18** Schol. Hom. Od. II 315f καὶ δή μοι ἀέξεται ἔνδοθι θυμός· ὁ μὲν θυμὸς ἀπὸ τοῦ θύειν, ὁ δὲ χόλος ἀπὸ τῆς χολῆς καὶ τοῦ χολᾶν προσηγόρευται. **20–93,2** Lex. Hex. φ 9 τί διαφέρει τὸ φέρεσθαι τοῦ κομίζεσθαι καὶ ἄγεσθαι; φέρεσθαι μὲν γὰρ κυρίως λέγομεν τὰ τῷ σώματι ἡμῶν βασταζόμενα, κομίζεσθαι δὲ διὰ τῶν ὑποζυγίων, ἄγεσθαι δὲ τὰ ἔμψυχα ὄντα.

2 ἀφ᾽ οὗ κληρονομία g q ἀφ᾽ οὗ κληρονονομία f ἀφ᾽ οὗ καὶ κληρονόμος n **10–11** γράφεται ante διὰ τοῦ Υ ψιλοῦ add. n **11** λάρυξ g **13** λαυκανίας codd. : correxi **16** καὶ θυμὸς καὶ ὀργή n **21** δ᾽ ὑποζυγίαν n$^{\text{a.c.}}$ δ᾽ ὑποζυγίου n$^{\text{p.c.}}$ | τὰ ante ἔμψυχα om. n | ἀναστροφὴ g **22** ἡ ἀνατροφὴ ἡ παίδευσις n ὑπὸ τῶν ἐναγομένων n

γόμενος. καὶ ἀγώγιμος ἤγουν ἀγωγῇ ἐνεχόμενος, ἀγώγιμα δὲ τὰ ἐντεθειμένα ταῖς ναυσί. *fgnq*

V 35 (p. 117, 17) ‹κόγχας·› ἐξ ὧν αἱ πορφύραι. *L^1*

V 35 (p. 117, 18) ‹προηγορεῶνι·› a. ἐν ἄλλοις πρηγορεών. *L^1*

b. πρηγορεὼν ἡ λεγομένη κοινῶς σγάρα. *L^1*

c. ἡ σγάρα. *T*

V 36 (p. 117, 25) ‹βρενθύεται·› a. ἀντὶ τοῦ ὀργίζεται· λέγεται τοῦτο καὶ ἐπὶ τρυφώντων ὅταν ὑπὸ τούτου ἐπαίρωνται. *L^1*

b. βρενθύεσθαι τὸ μετὰ συννοίας ἐπαίρεσθαι. *z*

V 37 (p. 117, 27) ‹ὀπὸν χυρηναῖον·› ὅν φασι σκορδολάζαρον. *L^1*

V 38 (p. 118, 8) ‹τακερῶς·› a. λυπηρῶς, ἀπὸ τοῦ ἑπομένου τὸ ἡγούμενον· ἕπεται γὰρ τοῖς λυπουμένοις τὸ τήκεσθαι. *L^1T*

b. ‹τακερῶς·› οἰκτρῶς ἢ θελκτικῶς ἀπὸ τοῦ τήκω. *a*

V 39 (p. 118, 26) ‹ἀποκρίνειν·› ἀνατιθέασι. *T*

V 39 (p. 119, 5) ‹ἔδει·› ἐσθίει. *L^1*

V 39 (p. 119, 8) ‹χήτει·› ἀντὶ τοῦ ἐνδείᾳ. *L^1*

V 39 (p. 119, 21) ‹ἀλκαίαν·› ἀλκαία ἡ οὐρὰ τοῦ λέοντος. *z*

V 39 (p. 119, 23) ‹ἴσῃ·› πληγῇ. *T*

3 Syn. κ 369 κόγχη· κογχύλη ὅθεν ἡ πορφύρα (Su. κ 1899; Phot. κ 834). **7–9** Hsch. β 1100 *βρενθύεται· μεγαλοφρονεῖ, ὑπερηφανεύεται, ἐπαίρεται. 1101 βρενθύεσθαι· θυμοῦσθαι, ὀργίζεσθαι. ἀναξιοπαθεῖσθαι, δυσχεραίνεσθαι προσποιεῖσθαι. Cyr. β 144 Hag. βρενθύεται· μεγαλοφρονεῖ· ἐπαίρεται· ἀλαζονεύεται. 252 βρενθύεται· ἐπαίρεται. **10–11** [Galen.] Lex. bot. p. 392, 11–12 σίλφιον καὶ σιλφίου ὀπὸς τὸ σκορδολάζαρον. **14** Hsch. τ 38 τακερόν· τηκτόν (com. ad. fr. 125, 2 K.-A.). οἰκτρόν. **16** Hsch. ε 422 *ἔδει· ἤσθιεν, ἢ ἐσθίει (Hom. Il. XV 636). Schol. D Hom. Il. XV 636 ἔδει· ἐσθίει. **17** Hsch. χ 423 χήτεϊ· στερήσει, ἐνδείᾳ, σπάνει. **18** Hsch. α 3085 ἀλκαία· κέρκος. ἡ οὐρά, ἡ τοῦ λέοντος (Call. fr. 54c, 23 Harder). Phot. α 977 ἀλκαία· οὐρὰ ζῴου, κυρίως δὲ τοῦ λέοντος, ἀπὸ τοῦ ἀλαλκεῖν, ὅ ἐστι βοηθεῖν. Schol. Ap. Rh. IV 1613–16c ἀλκαίη· κυρίως [δὲ] ἡ τοῦ λέοντος οὐρὰ ἀλκαία λέγεται, ἡ εἰς ἀλκὴν παρορμῶσα. ἐν δὲ τῇ Κωμικῇ λέξει (Didym. fr. 35 Schmidt) οὐ μόνον ἡ τοῦ λέοντος, ἀλλὰ καὶ ἵππου καὶ βοὸς καὶ τῶν ἐμφερῶν, ὅσα ὥσπερ ἀλεξητηρίῳ τῇ οὐρᾷ χρῆται. Cf. schol. VI 1 (p. 130, 9) ad ἀλκαίᾳ.

1 ἀγωγῆς ἐχόμενος n | καὶ ἀγώγιμα n | δὲ om. n **2** ἐντιθέμενα g n q **12–13** ἀπὸ τοῦ ἑπομένου – τὸ τήκεσθαι om. T **14** θελκτικῶς vocabulum novum ut vid.

V 40 (p. 120, 9) ‹φυλλάδι·› a. φυλλὰς ἡ σωρεία τῶν φύλλων. *L*[1]

b. χύσει φύλλων. *T*

V 41 (p. 120, 16) ‹τευθίδες·› σημαίνει τὰ λεγόμενα καλαμάρια. *T*

V 41 (p. 120, 17) ‹ὀνομάσαι·› τινὰ δηλονότι. *L*[1]

V 41 (p. 120, 18) ‹ἐπαρθέντα·› ἀναπεισθέντα. *T*

V 41 (p. 120, 19) ‹προβολαῖς·› a. ἃς προβοσκίδας εἶπεν. *L*[1]

b. προβοσκίσι. *T*

V 45 (p. 122, 12) ‹ἰωγῇ·› τῷ ἁπλώματι. *T*

Diog **V 46 (p. 123, 2)** ‹συρμαΐζειν·› a. βρωμάτιόν τι ἐστὶ διὰ στέατος καὶ μέλιτος, ὃ λέγεται συρμαισμός· καὶ ἔστι πρὸς κάθαρσιν ἐπιτήδειον. ἔστι δὲ καὶ πόμα δι᾽ ὕδατος καὶ ἁλῶν. Αἰγυπτιακὴ δὲ ἡ λέξις. *az*

b. ἐμεῖν. *T*

V 47 (p. 123, 9) ‹διείρας·› σουβλίσας. *L*[1]

V 47 (p. 123, 15) ‹γλύμμα·› ἐν ᾧ δακτυλίῳ ἐγγέγλυπτο τύπος σαύρου. *L*[1]

V 47 (p. 123, 16) ‹ἐννέα·› ἐνέθηκε σημεῖα ἐννέα διὰ τοῦ δακτυλίου ᾧ ἐνεκεκόλαπτο σημεῖον σαύρου· ἀφήρει δὲ καθ᾽ ἡμέραν ἓν σημεῖον καὶ τοῦτο ἐποίει μέχρι ἡμερῶν ἐννέα, ὅσα ἦν δηλονότι καὶ τὰ σημεῖα, καὶ ἀφελών, τοῦτο γὰρ τὸ ἀφανίσας, τὴν ἐπὶ πάσαις σφραγῖδα, δηλονότι τὴν ἐνάτην, ἀνοίγει τὴν χύτραν. *L*[1]

V 47 (p. 123, 19–20) καὶ τὸν μέν· τὸν σαῦρον, ἐνταῦθα ἀπελύσαμεν ἔνθεν, ἤγουν ἐξ οὗ τόπου ἐκρατήθη παρ᾽ ἡμῶν. *L*[1]

4–5 Schol. Opp. Hal. I 428 τευθίδες· τὰ λεγόμενα καλαμάρια. Cf. schol. XI 37 (p. 277, 24) ad τευθίς. **11–14** Hsch. σ 2780 σύρμαια· ἀγών τις ἐν Λακεδαίμονι, ἔπαθλον ἔχων συρμαίαν. ἔστι δὲ βρωμάτιον διὰ στέατος καὶ μέλιτος. λέγεται δὲ καὶ συρμαϊσμός (Hippocr. Artic. 40 4, 174, 1 L.), καὶ ἔστι πρὸς κάθαρσιν. καὶ πόμα δι᾽ ὕδατος καὶ ἁλῶν (Aristoph. Pax 1254. Hippocr. Mul. I 78, 8, 186, 1, 4 L.). [Zon.] s.v. συρμαΐζειν· βρωμάτιόν τι ἐστὶ διὰ στέατος καὶ μέλιτος, ὅπερ λέγεται συρμαϊσμός. καὶ ἔστι πρὸς κάθαρσιν ἐπιτήδειον. ἔστι δὲ καὶ πόμα δι᾽ ὕδατος καὶ ἁλῶν. Αἰγυπτιακὴ δὲ ἡ λέξις. **16** Cf. schol. VII 30 (p. 181, 8) ad διείρει.

11 lemma ἐντεῦθεν καὶ τὸ συρκαΐζειν (sic) add. z | βρωμάτιόν τι z βρωμ(΄)τ( ) τί a | ἐστὶ om. a **12–14** καὶ ἔστι πρὸς κάθαρσιν – ἡ λέξις om. a

V 48 (p. 124, 1) ‹ἀλκυόνα·› κήρυλος ὁ ἄρρην, ἀλκυὼν ἡ θήλεια. *L^1*

V 49 (p. 124, 20) ‹ἀποθανόντας·› μύας δηλονότι. *L^1*

V 49 (p. 124, 24) ‹ἀποφέρειν·› ἐκ‹φέρειν›. *T*

V 50 (p. 125, 20) ‹γαλῆ·› ἔδει τὸν αἴλουρον νοε̣ῖ̣ν. καὶ ζήτει. *L^1*

V 50 (p. 125, 22) ‹κρίξασαν·› ποιὰ φωνὴ ἐπὶ τῆς γαλῆς. *L^1*

V 53 (p. 127, 11) ‹ἐνακμάζῃ·› ἁδρύνηται. *T*

V 53 (p. 127, 14) ‹τὸ ἀποχρῆσον·› τὸ ἀρεστόν. *T*

V 54 (p. 127, 24) βάδην ‹κάθηνται›· ἀντὶ τοῦ κατὰ τάξιν καὶ ἐφεξῆς. Αἰλιανός· «καὶ ἐπὶ τὰ δένδρα ἀναθέουσι, καὶ ἐκεῖ βάδην κάθηνται». *z*

V 54 (p. 128, 23) ‹τλημόνως·› καρτερικῶς. *T*

V 54 (p. 128, 26) ‹ὅ γε μὴν τοῦ Λαέρτου·› Ὀδυσσεύς. *T*

V 56 (p. 129, 21) ‹αἵδε·› ἡ Ἤπειρος ἡ νῦν λεγομένη Βαγενετία καὶ ἡ Κέρκυρα. *L^1*

VI 1 (p. 130, 6) ‹ἀλκήν·› a. δηλονότι αὐτὰ τὰ ζῷα τὴν ἑαυτῶν ἀλκήν. *L^1*

b. οὕτως ὤφειλε[ν]· αὐτά δ[ὲ] ἑαυτοῖ[ς] παροξύ̣[νει] τὴν ἀλ[κήν]. *L^1*

VI 1 (p. 130, 9) ‹ἀλκαίᾳ·› a. ἀλκαία λέγεται ἡ τοῦ λέοντος οὐρά, ὡς δι᾽ αὐτῆς διεγειρομέν[ου] εἰς ἀλκήν. πλήττει γὰρ ἑαυτὸν τῇ οὐρᾷ καὶ οὕτως πρὸς μάχην διανίσταται. *L^1*

b. τῇ οὐρᾷ. *T*

VI 1 (p. 130, 18) ‹κονιώμενος·› μικρὸν ὀφείλει γράφεσθαι, ἀντὶ τοῦ γυμναζόμενος. κονίομαι γὰρ τὸ εἰς μάχην ἑτοιμάζομαι, κονιάω δὲ κονιῶ τὸ ἀσβέστῳ χρίω. *L^1*

VI 2 (p. 131, 19) ‹κενέβριόν τε·› γράφεται καὶ νεβρίδιόν τι. *H*

VI 3 (p. 131, 29) ‹ἐν καλῷ·› ἐγκαίρως. *L^1*

VI 3 (p. 132, 5) ‹βαδίζουσα·› διατρίβουσα εἰς φωλεόν. *T*

1–2 Su. κ 1549 κηρύλος· ὁ ἄρρην ἀλκυών, ὃς ἐν ταῖς συνουσίαις ἀποθνήσκει. **13** Schol. Aeschyl. Choe. 748 ‹τλημόνως ἤντλουν·› καρτερικῶς ὑπέφερον. **21–24** Cf. schol. V 39 (p. 119, 21) ad ἀλκαίαν. **25–27** Cf. scholl. III 16 (p. 60, 3) ad κονιῶντες et III 42 (p. 70, 19) ad κονιώμενος.

1 ζήτει ἀλκυόνες praepos. scholio L^1 **14** Ὀδισσεύς T : correxi **19–20** supplevi

VI 3 (p. 132, 7) ῥινᾷ· a. ἐξαπατᾷ· «τρόπον τινὰ τὴν ἕξιν ῥινᾷ». *z*

b. ἀπατᾷ. *a*

c. ἀντὶ τοῦ καθιστᾷ, λεπτύνει· ἡ μεταφορὰ ἀπὸ τῆς ῥίνης τοῦ ἐργαλείου. L^1

d. λεπτύνει, καθιστᾷ. *T*

VI 4 (p. 132, 21) ‹τῆς πικρίδος·› ὅ φασι πικρομάρουλον. L^1

VI 5 (p. 133, 6) ‹χόνδρους·› χόνδρος λέγεται καὶ τὸ στρογγύλον, ὡς βῶλος, λέγεται καὶ ὅ φασι τραγανόν, ὅπερ νοεῖται ἐνταῦθα. πρὸ γὰρ τοῦ παγιωθῆναι καὶ πυκνωθῆναι τὸ κέρας εἰς φύσιν ὀστέων εἰκὸς εἶναι χαυνωδέστερον. L^1

VI 6 (p. 133, 8) ‹οἱ παριόντες·› οἵ εἶσι. *T*

VI 6 (p. 133, 12) ‹ἑταίρους·› ἑτέρους ἵππους δηλονότι. *F*

VI 9 (p. 134, 14) ‹μέμυκεν·› ἀντὶ τοῦ μυκᾶται εὕρηται τὸ μέμυκε καὶ ἀντὶ τοῦ κέκλεικε, καὶ τούτου μὲν ὁ ἐνεστὼς μύω, ὃ λέγεται καὶ ἐπὶ τῶν ὀφθαλμῶν μετὰ τῆς ΚΑΤΑ, οἷον καταμύω, καὶ ἐπὶ τῶν ὀστρέων, οἷον μύει τὰ ὄστρεα τὰς πτύχας· τοῦτο μέμυκεν ἐπὶ τῶν βοῶν, ὁ ἐνεστὼς μυκάω, μυκῶ, μυκήσω, μεμύκηκα, ὁ μέσος μέμυκα κατὰ συγκοπήν. L^1

VI 10 (p. 134, 16) ‹μαθεῖν·› εἰς τὸ ἐπιστήμην αὐτὰ κτήσασθαι. L^1

VI 10 (p. 134, 19) ‹ἐπράττετο·› ἀπῃτεῖτο. L^1

VI 10 (p. 134, 20) ‹ἀγειρόντων·› ἀγυρτῶν. *T*

Diog **VI 10 (p. 135, 5)** ‹ψαλίων·› a. κρίκοι, δακτύλιοι. *L*

b. ψάλιον ἀττικῶς, ψέλλιον κοινῶς· ἔστι δὲ ὁ κρίκος τοῦ χαλινοῦ, ἢ ἁπλῶς ὁ κρίκος. *z*

1–3 Hsch. ρ 328 ῥινᾶν· ἐπὶ τοῦ ἐξαπατᾶν καὶ βουκολοῦντας. [Zon.] s.v. ῥινᾷ· ἐξαπατᾷ. «τρόπον τινὰ τὴν ἕξιν ῥινᾷ» (Ael. NA VI 3). **8–11** [Hdn.] Epim. p. 152 χόνδρος, τὸ ἐν τοῖς μέλεσι τραγανόν. Hsch. χ 628 *χόνδρος· τραγανός. οὗτος ὁ ἅλιξ. ἢ παχύς, ἢ μωρός. **14–19** Choer. in Theodos. II p. 106, 9–16 δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι ἐπὶ τοῦ δεδούπηκα δέδουπα καὶ μεμύκηκα μέμυκα οὐκ ἔχει παραλήγουσαν τὴν αὐτὴν ὁ μέσος παρακείμενος τῷ ἐνεργητικῷ παρακειμένῳ. Lex. Cas. in Greg. Naz. s.v. μέμυκε· κέκλεικε. **24** Hsch. ψ 39 ψάλια· κρίκοι, δακτύλιοι (Aeschyl. Prom. 54). **25–26** Schol. Eur. Phoen. 792 (ed. Dindorf) ψαλίοις· ψάλιον Ἀττικῶς, ψέλλιον κοινῶς. ἔστι δὲ ψέλλιον ὁ κρίκος τοῦ χαλινοῦ, ἢ ἁπλῶς ὁ κρίκος. ἐνταῦθα δὲ ψάλια τοὺς χαλινούς φησι, τῷ μέρει ἀντὶ τοῦ ὅλου χρώμενος.

13 ἵππους F : ἱππέας fort. scribendum **17** τοῦτο scripsi τοῦ τὸ L^1

VI 10 (p. 135, 7) ‹φριμάττεται·› a. Πίνδαρος (fr. 332 M.) κυρίως ἐπὶ τῶν ἀγρίων αἰγῶν εἴρηκεν· οἷον σκιρτᾷ καὶ ἐπεγείρεται· φρυάσσεται δὲ ἐπὶ τῶν ἵππων. *LL*^{1}

b. φριμάττεται· κυρίως ἐπὶ ἀγρίων αἰγῶν, οἷον σκιρτᾷ καὶ ἐπεγείρεται. λέγεται δὲ καὶ ἐπὶ ἵππων, ἀντὶ τοῦ φρυάσσεται. *z*

VI 11 (p. 135, 16) ‹τοῖς ἄγκεσι·› ἄγκεα οἱ φαραγγώδεις τόποι καὶ ἀγκωνοειδεῖς καὶ κοῖλοι καὶ καταδύσεις ἔχοντες. *Lz*

VI 11 (p. 135, 17) ‹τοῖς αὐλῶσιν·› αὐλῶνες οἱ ἐπ᾽ εὐθείας τόποι Αἰσχύ‹λος› Νιόβῃ (fr. 164a R.) καὶ τὴν τάφρον δ᾽ αὐλῶνα ὁ αὐτός (Prom. 731, sed cf. fr. 419 R.). *Lz*

VI 13 (p. 135, 21) ‹τὰ παρόντα·› τὸ παρατυχόν. *T*

VI 13 (p. 135, 22) ‹σωφρονεῖ·› εὐτακτεῖ. *T*

VI 13 (p. 135, 24) ‹κατά·› ἐπί. *L*^{1}*T*

VI 14 (p. 136, 4) ‹ὕαινα·› ὅν φασι γάνος. *L*^{1}

VI 23 (p. 141, 1) ‹μηχαναῖς·› οὕτως ὀφείλει· μηχανὰς αὐτοῖς μυρίας. *L*^{1}

VI 24 (p. 141, 29) ‹νέωτα·› νεαρά. *p*

VI 25 (p. 142, 17) ‹ὁ Σιλανίωνος·› κύων. *T*

VI 25 (p. 143, 2) ‹τὸν βίον·› τὴν ζωήν. *T*

VI 26 (p. 143, 11) ‹πόρος·› τῆς γαστρός. *T*

1–5 Hsch. φ 889 φριμάσσεται· σκιρτᾷ. ἐπεγείρεται (Pind. fr. 332). Ammon. 503 φριμάττεσθαι καὶ φρυάττεσθαι διαφέρει. φριμάττεσθαι μὲν γὰρ τὸν τράγον φαμέν – καὶ φριμαγμὸς ἡ τοῦ τράγου φωνὴ ὥσπερ πταρνυμένου –, φρυάττεσθαι δὲ τὸν ἵππον τὸν φυσῶντα καὶ γαυρούμενον. Cf. schol. VI 44 (p. 150, 21–22) ad ἐφριμάττετο. **6–7** Hsch. α 525 *ἄγκεα· κοίλους τόπους καὶ φαραγγώδεις (Hom. Od. IV 337). [Zon.] s.v. ἄγκη καὶ ἄγκεα· οἱ φαραγκώδεις καὶ ἀγκωνοειδεῖς καὶ σκοτοειδεῖς τόποι καὶ κοῖλοι καὶ καταδύσεις ἔχοντες. **8–10** Hsch. α 8315 αὐλῶνες· οἱ ἐπ᾽ εὐθείας τόποι. Αἰσχύλος καὶ τὴν τάφρον καὶ τὴν πυράν (fr. 419 R.). Eust. in Il. v. 4, p. 232, 12–17 γίνεται δὲ αὐλὸς ἀπὸ τοῦ αὔειν, ὅ ἐστι βοᾶν, οὗ παρώνυμος ὁ αὐλών, ἐπιμήκης αὐτὸς καὶ παραμήκης τόπος. ὅθεν καὶ δίαυλος καὶ αὐλὸς κατὰ Παυσανίαν τὸ στάδιον (cf. Paus. α 167 Erbse). **14** Hsch. γ 150 γάνος· παράδεισος. χάρμα. φῶς. αὐγή. λευκότης. *λαμπηδών, ἡδονή (Eur. Bacch. 383) καὶ ἡ ὕαινα, ὑπὸ Φρυγῶν καὶ Βιθυνῶν.

1–2 Πίνδαρος ‹ὁ› λυρικὸς perperam De Stefani **6** ἄγγεα z | φραγγώδεις L **7** τόποι post καὶ ἀγκωνοειδεῖς transp. L **9–10** καὶ αἱ τάφροι pro Αἰσχύ‹λος› – αὐτός z **9** αισχυνιόβῃ L : corr. De Stefani

VI 28 (p. 143, 26–27) ‹ἄλλους τρέφειν·› τροφὴν γίνεσθαι ἄλλοις. *L^1*

VI 29 (p. 144, 10) ‹νοσηλεύειν·› νοσοῦντα θεραπεύειν. *L^1*

VI 34 (p. 145, 14) ‹ἀλλαττόμενος·› ἀντα‹λλαττόμενος›. *T*

VI 35 (p. 145, 22) ‹βούπρηστις·› βούπρηστιν ἐὰν βοῦς καταπίῃ, πίμπραται καὶ ἀπόλλυται· ἔστι δὲ ζώου εἶδος. *z*

VI 38 (p. 146, 12) ‹ὑπεξαίροντα·› ἐκβάλλοντα, ἐλευθεροῦντα. *T*

VI 39 (p. 146, 16) ‹νεκρούς·› ‹νε›βρούς. *T*

VI 39 (p. 146, 17) ‹πληθύωνται·› ἐνεργητικῶς γράφεται πληθύω ἀντὶ τοῦ πληροῦμαι. *L^1*

VI 40 (p. 146, 26) ‹πιστεύει·› πείθεται. *T*

VI 40 (p. 146, 26) ‹κεχαρισμένος·› εἰς ἀποδοχήν τοῦ θεοῦ. *T*

VI 41 (p. 147, 23) ‹πλαισίου·› a. πλαίσιον ἡ ἐν τετραγώνῳ τῶν στρατιωτῶν τάξις, ὡς Πλάτων ἐν Σοφισταῖς (fr. 160 K.-A. = 160 Pirrotta)· καὶ τὰ διὰ ξύλων τετράγωνα σχήματα πλαίσια ἔλεγον. *Lz*

b. τετραγώνου. *T*

VI 42 (p. 148, 11) ‹Κρᾶθις·› Κρᾶθίς τις αἰπόλος· ἀντίπαις τὴν ἡλικίαν αἰγὶ ὡμίλησε, καὶ ἀνῃρέθη ὑπὸ τράγου ζηλοτυπήσαντος. τούτῳ δὴ οὐκ ἀφανῆ τάφον ἀνέστησαν, καὶ ἀπὸ τούτου τὸν ποταμὸν Κρᾶθιν ὠνόμασαν. *z*

VI 42 (p. 148, 16) ‹καὶ κίσσου·› γράφεται καὶ κυτίσου. *H*

VI 43 (p. 149, 6) ‹σύριγγας·› ποικίλας πάνυ λέγουσι τὰς τῶν Αἰγυπτίων σύριγγας. Αἰλιανός· «σύριγγας μὲν Αἰγυπτίας ᾄδουσιν οἱ συγγραφεῖς, ᾄδουσι δὲ καὶ λαβυρίνθους τινὰς Κρητικούς». *z*

VI 43 (p. 150, 1) ‹οὐραχούς·› οὐραχὸς τοῦ στάχυος ἡ ῥίζα· ἤγουν ἔνθα ὁ στάχυς μίγνυται τῇ καλαμαίᾳ. *z*

3 Syn. ν 110 νοσηλεύω· νοσοῦντα θεραπεύω (Su. ν 491; Phot. ν 256) **14–18** Hsch. π 2437 πλαίσιον· ἡ ἐν τετραγώνῳ τῶν στρατιωτῶν τάξις (Plat. com. fr. 160 K.-A. = 160 Pirrotta). καὶ πίναξ. καὶ *πλινθίον. καὶ διὰ ξύλων τετράγωνα πήγματα. [Zon.] s.v. πλαίσιον· εἶδος μέτρου. ἢ ἡ ἐν τετραγώνῳ τῶν στρατιωτῶν τάξις, ὡς Πλάτων ἐν Σοφιστῇ (Plat. com. fr. 160 K.-A. = 160 Pirrotta). καὶ τὰ διὰ ξύλων τετράγωνα σχήματα πλαίσια ἔλεγον.

15 Σοφισταῖς De Stefani σόφιστ( ) L Σοφιστῇ z **16** τά om. L **17** ἔλεγον L λέγει z **20** ἐμίγη‹σε› z$^{s.l.}$

VI 44 (p. 150, 12) ‹Βουκεφάλας·› Βουκεφάλας ἐλέγετο ὁ τοῦ Ἀλεξάνδρου ἵππος. *z*

VI 44 (p. 150, 15) ‹τὸν Γαλάτην·› a. Κελτοὶ καὶ Γαλάται οἱ αὐτοί. *z*

b. δεῖ εἰδῆναι ὅτι εἰσὶ Γαλάται καὶ ἑῷοι καὶ ἑσπέριοι. *z*

VI 44 (p. 150, 22) ἐφριμάττετο· ἀπὸ τούτου δοκεῖ διαφορὰν ἔχειν τὸ φρυάττεσθαι πρὸς τὸ φριμάττεσθαι. *z*

VI 44 (p. 150, 24) ‹ἐρωτικά·› ἐρωτικόν· μαλακόν. L^1

VI 44 (p. 150, 28) ‹ἀπημπόλησε·› ἔλαβε κέρδος ἐξ ἐκείνου. *T*

VI 44 (p. 150, 29) ‹τοῦ καλοῦ·› τοῦ εὐμόρφου. *T*

VI 46 (p. 151, 14) ‹εὐζώμου·› εὔζωμον παρ' ἰατροῖς ἡ βοτάνη ἡ λεγομένη ῥόκ[α]. L^1

VI 48 (p. 151, 24) ‹κατεγνωκώς·› μαθὼν ἀκριβῶς. *T*

VI 48 (p. 151, 25) ‹Δαρεῖος·› Δαρεῖος ὕστερος. L^1

VI 48 (p. 151, 25) ‹ὁ κάτω·› ὁ τελευταῖος. *T*

VI 49 (p. 152, 4) ‹ἀπολυθείς·› ἐλευθερωθείς. *T*

VI 49 (p. 152, 5) ‹καθ' ἡλικίαν·› κατὰ τὴν δύναμιν. *T*

VI 49 (p. 152, 6) ‹ἀφῆκεν·› ἐνέδωκεν. *T*

VI 49 (p. 152, 12) ‹ἐπαίροντος·› παρακινοῦντος. *T*

VI 50 (p. 152, 24) ‹ἑστῶτας·› ἐφίστανται τοῖς τρήμασι. *T*

VI 51 (p. 153, 27) ‹φυλάττοντα·› τὴν κρήνην δηλονότι. L^1

VI 51 (p. 153, 28) ‹στρεβλούμενον·› a. ἀναγκαζόμενον τὸν ὄνον ὑπὸ τῆς δίψης. L^1

b. πιεζόμενον. *T*

VI 51 (p. 153, 28) ‹φιλοτησίας·› φιλοτησίας ἐνταῦθα ἀντὶ τοῦ ἁπλῶς χάριτος. εἰ καὶ ἐγκαίρως κατά τι λέλεκται ἐπεὶ καὶ ἐνταῦ-

3–4 Cf. schol. XII 30 (p. 299, 9) ad τοὺς Γαλάτας. **5** Theodor. Hist. IX 1, 1–3 Γαλάτας ἀκούομεν μὲν τοὺς ἐν τῇ Εὐρώπῃ τοὺς ἑσπερίους, ἴσμεν δὲ τοὺς ἐν τῇ Ἀσίᾳ τοὺς ἐκείνων ἐγγόνους οἳ παρὰ τὸν Εὔξεινον κατῳκίσθησαν Πόντον. **6–7** Cf. schol. VI 10 (p. 135, 7) ad φριμάττεται. **12–13** Nicom. Lex. bot. p. 312, 20–21 εὔζωμον ἀροῦκα ἢ ῥόκα. **26–100,4** Phot. φ 193 φιλοτησίαν προπίνειν· ἔστιν ἡνίκα τις ἐν ἀρίστῳ ἀπὸ τῆς δοθείσης αὐτῷ φιάλης πιὼν μέρος τὸ λοιπὸν παράσχῃ φίλῳ, καὶ τὴν φιάλην χαρισάμενος. Cf. schol. II 42 (p. 48, 5) ad φιλοτησίας.

6 lemma καὶ προσιόντος ἐφριμάττετο, καὶ ἐπικροτοῦντος ἐφρυάττετο add. z
13 supplevi

θα περὶ πόσεως εἴρηται, κυρίως δὲ ἐπὶ τῶν ἐν συμποσίῳ λέγεται ὅταν προπίνωσιν ἀλλήλοις, οἷον «προπίνω σοι φιλοτησίαν» (cf. Alexis fr. 202 K.-A.), ὅταν προγευσάμενος ἐγὼ διδῶ πλῆρες τὸ ἔκπωμά σοι, χαριζόμενος καὶ αὐτό. L^1

Diog **VI 52 (p. 154, 14)** ‹ἀθάρην·› πυρίνην πτισάνην. *L*

VI 53 (p. 154, 19) ‹Αἰγύπτιοι·› κύνες δηλονότι. L^1

VI 54 (p. 154, 30) ‹πιέζει·› συνέχει, συσφίγγει. L^1T

VI 55 (p. 155, 2) ‹Μίλωνος·› a. ὁ Μίλων ἀνδρειότατος ἀθλητής. L^1

b. Μίλων παγκρατιαστὴς ἦν τῆς λίαν ἀνδρείας καὶ γενναῖος, οὗ ὁ Μέγας Βασίλειος μέμνηται ἐν Ἐπιστολαῖς (339, 1). *T*

VI 56 (p. 155, 11) ‹ἕτερον·› ὀδόντα δηλονότι· δύο γὰρ ἔχουσιν. *T*

VI 56 (p. 155, 12) ‹προβαλλομένων·› ἐλεφάντων δηλονότι. L^1

VI 56 (p. 155, 16) ‹χρῶνται·› οἱ ἐλέφαντες δηλονότι. L^1

VI 57 (p. 155, 21) ‹Πηνῖτιν·› γράφεται Πινυτήν. L^1

VI 57 (p. 155, 26) ‹ἰδόντι·› ἔστιν. *T*

VI 57 (p. 155, 26) ‹ἀκεστικήν·› ῥαπτικήν. καὶ ἀκοῦμαι τὸ ῥάπτω. L^1

VI 58 (p. 156, 1) ‹οἱ φοίνικες·› τὰ ὄρνεα νόει ἐνταῦθα, ἃ διὰ πεντακοσίων ἐτῶν ἐπιφαίνεται τῇ Αἰγύπτῳ, κρεῖττον ἢ κατὰ τοὺς Αἰγυπτίους εἰδότους πότε ἥκοι πληρωθέντων τῶν πεντακοσίων ἐτῶν. L^1

VI 58 (p. 156, 8) ‹συμβῆναι·› συμφωνῆσαι. L^1T

VI 58 (p. 156, 9) ‹ἐρεσχελοῦσι·› φιλονεικοῦσι. *T*

VI 58 (p. 156, 10) ‹ὁ θεῖος ὄρνις·› ὁ φοίνιξ. L^1

VI 58 (p. 156, 11) ‹ἀποσημαίνεται·› ἐπι‹σημαίνεται›, δηλοῖ. *T*

VI 58 (p. 156, 11) ‹πάρεστιν·› παραγίνεται ὁ φοίνιξ. L^1

VI 58 (p. 156, 14) ‹σοφά·› τὰ σοφά, ὡς μεμνημένα. L^1

5 Hsch. α 1534 ἀθάρη· πυρίνη πτισάνη. 7 Schol. Opp. Hal. II 382 πιέζων. δαμάζων, συσφίγγων, ὡς μὴ ἐῶν αὐτὸν ἀναπνεῦσαι. IV 611 πιέζων· συσφίγγων, ἐπισφίγγων. **19–20** Eust. in Il. v. 4, p. 561, 14 ἀκεῖσθαι καὶ τὸ ῥάπτειν ἐλέγετο. **25** Su. σ 1365 συμβῆναι· συμφωνῆσαι.

5 πτισσάνην L : correxi **7** συνέχει om. L¹ **8** Μείλων L¹ : correxi **10** λίαν ἀνδρικῆς T : correxi

VI 58 (p. 156, 21) ‹ἀτελέστους·› τοὺς ἀμυήτους τῶν σοφῶν. *L¹*

VI 59 (p. 156, 23) ‹διαλεκτικόν·› ἀντὶ τοῦ συλλογιστικόν. *L¹*

VI 59 (p. 156, 26) ‹διαλεκτικῆς·› συλλογιστικῆς. *T*

VI 59 (p. 156, 26) ‹ἀμωσγέπως·› μετρίως. *T*

VI 60 (p. 157, 20) ‹οὐ συμβλήτων·› ἀδιανοήτων. *T*

VI 60 (p. 157, 24–25) ‹ὡς ἐγῷμαι·› ὡς ἐγὼ οἶμαι, κατὰ συναλοιφήν. *T*

VI 61 (p. 158, 5) ‹σφακέλους·› a. σφάκελος σῆψις ὀστοῦ, φάκελον δὲ μικρὸν δέσμιον ξυληφίων. *z*

b. δεσμούς. *T*

VI 63 (p. 159, 5) ‹διέτριβεν·› διατρίβειν τὸ κοινῶς παραδιαβιβάζειν, καὶ διατριβὴ ὁ παραδιαβιβασμός. *z*

VI 64 (p. 160, 1) ‹κακόν·› ὄντα. *T*

VI 64 (p. 160, 1) ‹περιελθοῦσα·› μεταχειρισαμένη. *T*

VI 65 (p. 160, 5) ‹δεινῶς·› λίαν. *T*

VI 65 (p. 160, 7) ‹ἀπολάχωσι·› ἀπολάβωσι. *T*

VII 1 (p. 161, 4) ‹λέγων·› ὁ φημίζων. *T*

VII 1 (p. 161, 6) ‹ἐπινησθέντα·› εὕρηται ἢ τὸν ἐπιταχθέντα. *L¹*

VII 2 (p. 161, 23) ‹μέλονται·› ἔν τινι μέλη· ἤγουν ᾄδονται μέλη τοῖς ἐλάφοις ὡς θεοῖς. *L¹*

1–2 Syn. α 407 ἀμύητος· ἄπειρος, ἀτέλεστος. **5** Et. Gud. s.v. ἀμωσγέπως· ὅπως δήποτε, καθ' ὅντινα οὖν τρόπον· ἔνιοι τὸ μετρίως· Πλάτων (Tim. 52c) τὸ ἐκ παντὸς τρόπου. **9–11** Hsch. σ 2839 *σφακελίζει· κρούει τοῖς ποσί. κινεῖ δεινῶς. ὀδυνᾶται. σπᾷ. διασπᾶται. ἀλγύνεται (cf. Cratin. fr. 384 K.-A.). σφακελισμὸς γὰρ καὶ σφάκελος ἡ ἄμετρος ὀδύνη· καὶ ἡ μετὰ σπασμοῦ τῆς χολῆς πρόεσις· καὶ ἡ τῶν ὀστέων σῆψις. Schol. Aristoph. Ran. 836 (Tzetz.) φάκελοι γὰρ αἱ κώμυθές τε καὶ δέσμαι τῶν ξύλων ἢ καὶ καλάμων ἢ ἄλλων τινῶν οὕτως εἰς ἓν συντεθέντων καὶ δεθέντων καλοῦνται. Schol. Opp. Hal. II 583 σφακέλῳ· ἐπιληψίᾳ, σφακελισμός, ἡ σῆψις τοῦ μυελοῦ, ὁ σπασμός, ὁ παλμός, ὁ σφυγμός, ἡ τῶν ὀστῶν σῆψις, καὶ ὁ μέσος τῆς χειρὸς δάκτυλος. σφακελισμῷ· ταραχῇ, σφυγμῷ καὶ παλμῷ, ἄλλοι δὲ σήψει ὀστέου· σφακελισμὸς λέγεται καὶ ἡ σῆψις τοῦ μυελοῦ, καὶ ὁ σπασμός, καὶ τῶν ὀστῶν ἡ σῆψις, λέγεται δὲ καὶ ὅλος ὁ μέσος τῆς χειρὸς δάκτυλος σφάκελος, φάκαι παρὰ Ῥωμαίοις αἱ δεσμαί, ἐξ οὗ καὶ φάκελος ὁ δεσμὸς τῶν χαρτίων.

10 ξυλοιφίων z : correxi

VII 4 (p. 162, 14) ἐπὶ τῶν φερέτρων· οὕτω λέγεται τὸ φορεῖον ἢ ἁπλῶς πᾶν δι᾽ οὗ δυνατὸν φέρεσθαί τι, ὥστε ἁρμόττειν ἐνταῦθα ἐπὶ ἁμάξης καὶ τῶν τοιούτων. *z*

VII 4 (p. 162, 24) ‹βλοσυρώτερος·› ἀγριώτερος. *T*

VII 5 (p. 162, 30) ‹φοβερώτερον·› a. φοβερὸν τὸ φόβον ἐμποιοῦν, ἀλλὰ καὶ φοβερὸν ἐπὶ πάθους τὸ φοβούμενον ὡς ἐνταῦθα. *L*[1]

b. ἐκφοβῶν. *T*

VII 5 (p. 163, 5) ‹βρομῶδες·› [βρόμος κυρίως ἐπὶ ἀνέμου καὶ ἐπὶ πυρός,] καὶ οὐ δεῖ νοεῖν ἐπὶ τοῦ ἤχου, ἀλλὰ ἐπὶ τῆς ποιότητος· ἔγραψε δὲ καὶ τὸ βρωμῶδες μετὰ τὸ ΒΡΩ ὡς ἐπὶ δυσωδίας. *L*[1]

VII 5 (p. 163, 8) ‹παραπέσοι·› φθείρεται. *T*

VII 6 (p. 163, 14) ‹οἷον·› ὥσπερ. *T*

VII 6 (p. 163, 18) ‹ὑποτέμνονται·› φθάνουσι. *L*[1]*T*

VII 8 (p. 165, 16) ‹μαρτύρεσθαι·› γράφεται ‹μαρτυ›ρεῖ‹σθαι›. *L*[1]*T*

VII 8 (p. 165, 22) ‹ἐκεῖσε·› εἰς τὰ οἰκεῖα. *T*

VII 8 (p. 166, 6) ‹ἄδην·› δαψιλῶς. *T*

VII 8 (p. 166, 14) ‹συμβάλλονται·› a. ‹συμβάλλ›ουσι. *T*

b. σημεῖον διδόασι. *T*

VII 8 (p. 166, 19) ‹προσαναβάλλοιτο·› πρὸς τὸν οὐρανόν. *T*

VII 8 (p. 166, 19–20) ‹προσαναβάλλοιτο αὐτὰ τὰ αὐτά·› γράφεται ‹προσαναβάλ›λοιτο, αὐτὰ ταῦτα δηλοῖ που. *L*[1]

VII 8 (p. 166, 21) ‹ὁρώμενοι·› ὀσσόμενοι εἶχε τὸ πρωτότυπον. *L*[1]

1–3 Hsch. ε 2557 *ἐμ φερέτρῳ· ἐν τῷ φορείῳ (Hom. Il. XVIII 236). **4** Schol. Opp. Hal. I 47 βλοσυρῆς· ἀγρίας. **5–7** [Hdn.] Epim. p. 144 φοβερὸν, τὸ φόβον ἐμποιοῦν. [Moschop.] Voc. Att. s.v. φοβερὸς σημαίνει καὶ ἐνέργειαν καὶ πάθος, οἷον φοβερὸς ὁ φόβον ἐμποιῶν, ἀλλὰ καὶ ὁ φοβούμενος. Thom. Mag. Ecl. p. 383, 10–12 φοβερόν τὸ φόβον ἐμποιοῦν, ἐπίφοβον δὲ τὸ φοβούμενον. ὥσπερ καὶ φθονερόν τὸ φθόνῳ χρώμενον, ἐπίφθονον δὲ τὸ φθονούμενον. **9–10** Eust. in Il. v. 3 p. 437, 7–8 βρόμος κυρίως ἐπὶ ἀνέμου καὶ ἐπὶ πυρός, ἐφ᾽ ὧν καὶ τὸ βρέμειν. **18** Eust. in Il. v. 4, p. 56, 2 τὸ δὲ ἄδην ἀντὶ τοῦ δαψιλῶς.

1 lemma μένουσι γοῦν καὶ ἐπὶ τῶν φερέτρων ἀκίνητοι add. z **9–10** margine decuratato initium scholii interiit, supplevi ex gr. ex Eust. in Il. v. 3 p. 437, 7–8 **23** ‹προσαναβάλ›λοιτο scripsi

VII 9 (p. 167, 3) ‹τὴν ἄλλων μέν·› ἔν τινι ἀπὸ διορθώσεως ἐξ ἄλλων μέν. L^1

VII 9 (p. 167, 7) ‹ἶνας·› ἶνες οὐχὶ τὰ καθολικὰ νεῦρα, ἀλλὰ τὰ μικρὰ καὶ σαρκώδη. L^1

VII 10 (p. 168, 9) ‹ἐξέτασις·› τὸ κοινῶς ἐγνόμιν. L^1

VII 11 (p. 169, 2) ‹χειμερία·› ὥρα. *T*

VII 11 (p. 169, 9) ‹περιβάλλουσι·› περιέθηκαν ἑαυτούς. *T*

VII 12 (p. 169, 23) ‹αἱρέτωσαν·› ὑψούτωσαν. *T*

VII 12 (p. 169, 26) ‹θηλάζουσι·› ἐντεῦθεν γνώριμον ὅτι οὕτω δεῖ γράφειν ἡ μήτηρ θηλάζει τὸ παιδίον, ἤγουν θήλην αὐτῷ προτείνει, οὐχὶ τὸ βρέφος θηλάζει τὴν μητέρα. L^1

VII 12 (p. 169, 28) ‹νῶσι·› a. ἀντὶ τοῦ νήθουσι. *L*

b. σημείωσαι ὅτι οὐ κατὰ λόγον κεῖται ἡ δευτέρα συζυγία τῶν περισπωμένων ἐνταῦθα ἐν τῷ νῶσιν ἀντὶ τοῦ κλώθουσιν. πρώτης γάρ ἐστι συζυγίας τὸ νῶ τὸ κλώθω, δευτέρας δὲ τὸ νῶ τὸ ῥέω· Ἀριστοφάνης (Ran. 146) «σκὼρ ἀεὶ νῶν», ἀφ' ‹οὗ› νᾶμα. L^1

VII 12 (p. 170, 5–6) ‹ἐπεὶ δέ·› ἐπειδὴ ὀφεί[λει]. L^1

VII 13 (p. 171, 4) ‹τὸ πᾶν κατέγνωσαν·› ἀκριβῶς ἔγνωσαν. *T*

VII 13 (p. 171, 5) ‹ἐδικαιώθη·› ἐκολάσθη. *T*

VII 13 (p. 171, 5) ‹ἐκ τοῦ νόμου·› δίκην ὑπέστη τὴν ἐκνόμων. L^1

VII 15 (p. 171, 21) ‹νέμοντες·› διδόντες. *T*

VII 15 (p. 172, 16) ‹λοχεία·› ἔφορος τῶν λοχευομένων. L^1

VII 16 (p. 172, 21) ‹τὸ χελώνειον·› τὸ ὄστρακον τῆς χελώνης. L^1

3–4 Erotian. ι 10 ἶνες· οἱ μὲν τὰ νεῦρα, οἱ δὲ τὰς συνθετικὰς τούτων κτηδόνας. **9–11** Schol. Theocr. XIV 15b θηλάζοντά τε χοῖρον· οὐ τὸν θηλάζοντα παῖδα, ἀλλὰ τὸν θηλαζόμενον χοῖρον· ἐνεργητικὸν γάρ ἐστιν ἀντὶ τοῦ παθητικοῦ. Cf. schol. X 6 (p. 235, 13) ad θηλάζει. **12–16** Poll. On. VII 32 τὸ γὰρ νήθειν οἱ Ἀττικοὶ νεῖν λέγουσιν. [Zon.] s.v. νῶσιν· ἀντὶ τοῦ νήθουσιν. νήθω δὲ τὸ κλώθω· «καὶ ταῖς χερσὶ νῶσι λῖνον» (Ael. NA VII 12). Et. M. s.v. ἔννη· ἔστι νῶ· σημαίνει τὸ νήθω· ὁ παρατατικὸς, καὶ ἐπὶ πρώτης ἐστὶ συζυγίας, καὶ ἐπὶ δευτέρας. ἂν γὰρ ἐστὶ νώμενος ὡς κλώμενος, δηλονότι ἐστὶ δευτέρας. τοῦ νῶ ὁ παρατατικὸς, ἔνων, ἔνης, ἔνη· καὶ πλεονασμῷ τοῦ ν, ἔννη. οὕτως Ἡρωδιανός. **25–26** Cf. schol. XII 38 (p. 302, 19) ad χελώνειον.

5 ἐγνόμιν vocabulum novum **16** ἀφ' ‹οὗ› supplevi **17** supplevi

VII 17 (p. 173, 2) ‹ἐπιθέμεναι·› a. ἀντὶ τοῦ ἀναλαβοῦσαι, ἀναθέμεναι ἐπὶ τῶν μεσοπτερυγίων. *L¹*

b. ἐπάνω θέμεναι, ἀράμεναι, ἀναλαβοῦσαι. *T*

VII 19 (p. 174, 5) ‹τοὺς Μεμφίτας·› ἔν τινι τοὺς Μεμφίτου. *L¹*

VII 22 (p. 177, 9) ‹ὅσοι κατὰ τὸ πατρῷον·› πατρικοί. *T*

VII 23 (p. 177, 26) ‹τὸ μαρτύριον·› ἡ ἀπόδειξις. *T*

VII 23 (p. 177, 27) ‹προβάτων οὐραγεῖν·› ἀντὶ τοῦ ἕπεσθαι τοῖς προβάτοις. *V*

VII 23 (p. 177, 28) ‹προθεῖ·› θέων ὁ τράγος προλαμβάνει τὰ πρόβατα καὶ τὰς αἶγας ἕνεκεν τοῖν δυοῖν τούτοιν, τῷ τε σεμνύνεσθαι ἐπὶ τῷ γενείῳ καὶ τῷ προτιμᾶν κατά τινα λόγον φύσεως τοῦ θήλεος τὸ ἄρρεν. *L¹*

VII 24 (p. 178, 8) [οὐδὲ μὴν] ἀ̣π̣ὸ̣ τ̣ο̣ῦ̣ σ̣υ̣ν̣νόμου σχίζεται· αἱ γὰρ αἴγες διαιροῦνται ἀπ᾽ ἀλλήλων καὶ πλατύνονται· τὰ δὲ πρόβατα συνημμένα βαδίζει. *L¹*

VII 24 (p. 178, 10) ‹χιλοῦ·› χιλὸς ἀρσενικῶς ἡ τροφή. Αἰλιανός· «λέγουσι δὲ Ἄραβες ὅτι ἄρα τὰ παρ᾽ αὐτοῖς ποίμνια πιαίνεται ὑπὸ μουσικῆς μᾶλλον ἢ ὑπὸ τοῦ χιλοῦ». *z*

VII 24 (p. 178, 16) ‹τοῦ ἐκγόνου·› τοῦ ἄρρενος. *V*

VII 24 (p. 178, 16) ‹τοῦδε·› τοῦ θήλεος. *V*

VII 24 (p. 178, 16) ‹πρὸς τόν·› τὸν βορρᾶν. *V*

VII 24 (p. 178, 17) ‹πρὸς τόν·› τὸν νότον. *V*

VII 25 (p. 178, 27) ‹Ἰκάριον·› οὕτω φέρεται ἡ ἱστορία περὶ

17–19 Cyr. χ 59 Hag. χιλός· τροφή. Su. χ 303 χιλή· τροφή. καὶ χιλός, ἀρσενικῶς, ἡ τροφή. **24–105,9** [Nonn.] Comm. in Greg. Naz. or. IV, hist. 68 περὶ δὲ τοῦ Ἰκαρίου ἐστὶν αὕτη. λέγεται ὅτι ὁ οἶνος παρὰ τοῦ Διονύσου εὕρηται, διὸ καὶ ἔφορον τῆς ἀμπέλου λέγουσι τὸν Διόνυσον. οὗτος οὖν ὁ Διόνυσος ἐλθὼν ἐν Ἀθήναις Ἰκαρίῳ τινὶ περιτυχών, δέδωκεν αὐτῷ κλῆμα ἀμπέλου φυτεῦσαι. καὶ ἐφύτευσε, καὶ ἐγεώργησεν οἶνον, καὶ ἔπιε καὶ αὐτός, καὶ δέδωκε καὶ ποιμέσι πιεῖν. οἱ δὲ ποιμένες μεθυσθέντες διὰ τὸ ἐκ παραδόξου πρῶτον πιεῖν νομίσαντες φαρμαχθῆναι παρὰ τοῦ Ἰκαρίου, ἀποκτείνουσιν αὐτόν. ἡ δὲ Ἠριγόνη, ἡ τούτου θυγάτηρ, διὰ τῆς κυνὸς τοῦ Ἰκαρίου γνοῦσα ὅτι τέθνηκεν, ἐποτνιᾶτο καὶ ἤσχαλλεν. καὶ ταύτην ἐλεήσαντες οἱ θεοὶ διὰ τὸ πάθος, μετέθηκαν αὐτὴν εἰς τὸν οὐρανόν. καὶ νῦν ἐστι, φησίν, ἐν τοῖς ἄστροις ἡ Ἠριγόνη. Schol. Lucian. Deor. Dial. 22, 2 (p.

4 ζήτει praepos. scholio L¹ **14** margine decuratato initium scholii interiit, supplevi ex gr. **18** Ἄρραβες z^p.c.

τοῦ Ἰκαρίου· ἐπιξενωθεὶς γὰρ τούτῳ ποτὲ Διόνυσος καὶ φιλοφρόνως ὑποδεχθεὶς ἐδωρήσατο τὴν ἄμπελον. ὁ δὲ φυτεύσας καὶ γεωργήσας οἶνον, καὶ πιὼν μετέδωκε τοῖς γειτονοῦσι ποιμέσιν· οὗτοι δὲ μεθυσθέντες καὶ φαρμαχθῆναι νομίσαντες, οὔπω γὰρ ἦν ἡ τοῦ οἴνου χρῆσις, ἀνεῖλον τὸν Ἰκάριον. καὶ μαθοῦσα διὰ τοῦ συνόντος κυνὸς αὐτῷ ἡ θυγάτηρ Ἠριγόνη καὶ μὴ φέρουσα τὸν θάνατον τοῦ πατρὸς ἔμελλεν ἀναιρήσειν ἑαυτήν· ἐλεήσαντες δὲ ταύτην οἱ μυθευόμενοι θεοὶ εἰς ἀστέρα μετέβαλον μετὰ τοῦ κυνὸς καὶ ἐν οὐρανῷ κατηστέρισαν. *L*[1]

VII 25 (p. 179, 6) ‹μετ᾽ αὐτήν·› μετὰ τὸ θανεῖν αὐτήν. *T*

VII 25 (p. 179, 9) ‹πιτνῶντα·› συμβαίνοντα. *T*

VII 26 (p. 179, 13) ‹τὴν Τέων·› Τέως πόλις, ὁ ἀπὸ ταύτης Τήϊος. *z*

VII 26 (p. 179, 18) φασκώλιον· τὸ βαλλάντιον. *z* Diog

VII 26 (p. 179, 19) ‹ἀνέπαυσεν·› κάτω ἔθηκεν. *T*

VII 30 (p. 181, 8) ‹διείρει·› διαβιβάζει, σουβλίζει. *T*

VII 30 (p. 181, 11) ‹ἔχει·› παρέχει. *T*

VII 30 (p. 181, 12) ‹διῆρται·› γράφεται διεῖρται. *T*

VII 31 (p. 181, 21) ‹ὀδαξᾶται·› κνήθεται. *L*[1]

274, 5–13) Ἰκάριον· Ἀθηναῖος οὗτος ὁ Ἰκάριος, ᾧ πρώτῳ Διόνυσος ἐπιξενωθεὶς γεωργῷ ὄντι φιλοφρονήματι τοῦτον τετίμηκε τῆς ξενίας τὴν τῆς ἀμπέλου φιλοπονίαν διδάξας. φυτεύσας τοιγαροῦν καὶ ἐπιμελησάμενος τοῦ δωρήματος, εἶτα κατὰ καιρὸν τρυγήσας καὶ ἀποθλίψας τὸν οἶνον καὶ πιεῖν τοῖς συνεργαζομένοις παρασχὼν ἀήθει τῷ πόματι εἶχε παρειμένους τοὺς πεπωκότας. νομίσαντες οὗτοι τὸν γεύσαντα τούτου τοῦ οἴνου περιειργάσθαι αὐτὸν κτείνουσιν ὡς φαρμακέα.
12–13 Hdn. παρων. p. 881, 22–23 Τέως πόλις Ἰωνίας. τὸ ἐθνικὸν Τήϊος. ἔστι γὰρ πρῶτον Τέϊος καὶ Τεῖος καὶ Ἰωνικῶς Τήϊος. Steph. Byz. τ 107 Τέως· πόλις Ἰωνίαςς. ἔστι δὲ μέση Ἰωνίας, ὡς Ἡρόδοτος ἐν ᾱ (I 170, 3). ἣν πρῶτον ἔκτισεν Ἀθάμας, ὅθεν Ἀθαμαντίδα καλεῖ αὐτὴν Ἀνακρέων (PMG 463). ἐκλήθη δὲ ἀπὸ τῆς Ἀθάμαντος θυγατρὸς Ἀρᾶς. σκοπουμένου γὰρ τοῦ Ἀθάμαντος ἔνθα ἱδρύσει τὸν λαόν, ἀθύρουσα οἷα δὴ παῖς ἐκ λίθων οἰκίαν δειμαμένη ἔλεγεν „ἕως σὺ χῶρον ἐσκόπεις, τέως ἐγὼ πόλιν σοι ἐδειμάμην". καὶ διὰ τοῦτο ἡ πόλις οὕτως ὠνομάσθη. τὸ ἐθνικὸν Τήιος. ἔστι γὰρ πρῶτον Τέιος καὶ Τεῖος καὶ ἰωνικῶς Τήιος. **14** Hsch. φ 215 φασκώλιον· βαλάντιον δερμάτινον (Ael. NA VI 10). φάσκωλος δὲ τὸ μέγα, εἰς ὃ τὰ ἱμάτια ἐμβάλλεται (Aristoph. fr. 336, 2 K.-A.). **16** Cf. schol. V 47 (p. 123, 9) ad διείρας. **19** Phot. α 325 ἀδαξῆσαι· τὸ κνῆσαι, οὐκ ἐν τῷ ‹ο› ὀδαξῆσαι. καὶ ἀδαχεῖν· τὸ κνήθειν.

VII 31 (p. 181, 22) ‹ἀκαλήφαι·› [κ]νίδη καὶ ἀ[κα]λήφη [ταὐ]τό. *L¹*

VII 32 (p. 182, 9) ‹εἰ μήπω·› γράφεται εἰ μήποτε. *L¹*

VII 33 (p. 182, 15) ‹ῥοάν·› ῥοήν. *T*

VII 34 (p. 182, 24) ‹γράμμα·› ἀντὶ τοῦ γραφαί. *L¹*

VII 35 (p. 183, 5) ‹στόρθυγγας·› στόρθυγξ τὸ ἄκρον τοῦ δόρατος ἢ τὸ τοῦ βέλους σιδήριον. *L¹*

VII 35 (p. 183, 9) ‹κεροῦσαν·› κερασφόρος. *V*

VII 35 (p. 184, 7) ‹μοιχῶντας·› νοθεύοντας. *T*

VII 35 (p. 184, 9) ‹τῇ ἀντιλογίᾳ·› διά. *T*

VII 37 (p. 185, 1) ‹ἔμβραχυ·› γράφεται κἂν βραχύ. *L¹*

VII 37 (p. 185, 4) ‹ἐκπεσόντος·› τοῦ πωλευτοῦ ἐκπεσόντος ἀπὸ τοῦ ἐλέφαντος, φαίνεται γὰρ συγκαθῆσθαι καὶ τὸν πωλευτήν. *L¹*

VII 39 (p. 186, 5) ‹ὑποκλυσθέντες·› καταβαπτισθέντες. *T*

VII 42 (p. 187, 5) ‹τὴν ἑαυτοῦ φρουράν·› τὴν ἀσφάλειαν ἑαυτοῦ. *T*

VII 44 (p. 189, 10) ‹ὀδαξησμῷ·› a. κνησμονῇ. *L¹*

b. ὀδαξησμὸς ἡ κνησμονή. *z*

VII 44 (p. 189, 22) γύνις· γίνεται μαλακός. *F*

VIII 1 (p. 191, 3) ‹θηρατικοί·› θηρατικὸς ὁ ἐπιτηδειότητα ἔχων ἐν τῇ θήρᾳ. *z*

VIII 1 (p. 191, 4) ‹καταγνῶναι·› ἀκριβῶς γνῶναι. *T*

VIII 1 (p. 191, 12) ‹εἰς τὴν μητέρα·› εἰς τὴν φύσιν τῆς μητρὸς τὴν κυνείαν ἀποκαθίσταται, διαιρεθεὶς τῆς φύσεως τοῦ τίγρεως. *L¹*

VIII 1 (p. 191, 21) ‹ἔκνιζεν·› a. παρεκίνει ἀπὸ μεταφορᾶς τῶν ὑπ᾽ ἔρωτος κινουμένων εἰς λύπην. *L¹*

b. διήγειρεν. *T*

VIII 2 (p. 192, 15) ‹ὡς ἄθλῳ·› ἐπ᾽ ἄθλῳ. *L¹*

VIII 2 (p. 192, 17) ‹τυχών·› γράφεται ἐντυχών. *L¹*

1–2 Hsch. α 2246 ἀκαλῆφαι· κνίδαι. **6–7** Syn. σ 241 στόρθυγξ· τὸ ἄκρον τοῦ δόρατος, ἢ τὸ τοῦ βέλους σιδήριον (Su. σ 1144; Phot. σ 591). **20** Et. Sym. γ 181 γύνις· ὁ γυναικώδης καὶ μαλακός· παρὰ τὸ γυνὴ παρώνυμον γύνις, ὡς Δάφνη Δαφνίς, νύμφη νυμφίς.

1–2 supplevi

VIII 2 (p. 193, 5) ‹ἀρκυωροῖς·› a. τοῖς φύλαξι τῶν ἀρκύων. *L*^{1}

b. ἀρκυωρὸς ὁ ἐπιτετραμμένος τὴν φροντίδα τῶν ἀρκύων καὶ σκοπιωρὸς ὁ ἐπιτετραμμένος τὴν φροντίδα τοῦ σκοποῦ, ἤγουν τῆς βίγλας. καὶ σκοπιωρεῖταί τις ἀντὶ τοῦ ἀποσκοπεύει. *z*

VIII 3 (p. 193, 21) ‹ὀχοῦντες·› a. βαστάζοντες. *L*^{1}

b. φέροντες. *T*

VIII 4 (p. 194, 14) ‹καθιέντων·› κατὰ τοῦ στόματος πεμπόντων. *L*^{1}*T*

VIII 4 (p. 194, 18) ‹προάγονται·› ἀντὶ τοῦ προάγουσι. *L*^{1}*T*

VIII 5 (p. 194, 24) ‹ἕδρας·› ἕδρας τῶν ὀρνίθων. *T*

VIII 7 (p. 195, 12–13) ‹περὶ τὴν τῶν Ἰνδῶν θάλατταν·› ‹π›αρά. *T*

VIII 7 (p. 195, 15) ‹ἐκθνήσκειν·› μετρίως νεκροῦται. *T*

VIII 8 (p. 196, 1) ‹ὑπὸ πλήθους·› μεγάλης χολῆς. *T*

VIII 8 (p. 196, 7) ‹τοὺς ἀθέρας·› τὰ κοινῶς ἄγανα. *L*^{1}

VIII 8 (p. 196, 10) ‹σπληνία·› a. ὀθόνια. *L*

b. ἰατρικὴ λέξις δηλοῦσα δεσμὰ ἐσχηματισμένα εἰς σπληνὸς εἶδος. *L*^{1}

VIII 9 (p. 197, 4) ‹ἐπισιμώσαντες·› a. ἀντὶ τοῦ συναγαγόντες. *L*^{1}

b. συνάξαντες. *T*

VIII 9 (p. 197, 17) ‹ἐν δὲ τῷ τέως·› ἐν τῷ παρόντι ἐκείνῳ σωρῷ. *T*

VIII 9 (p. 197, 20) ‹δέα·› φόβοι. *T*

1–5 Harp. s.v. ἀρκυωρός (p. 58, 13–15 Dindorf = α 237 Keaney)· Λυκοῦργος ἐν τῇ κατὰ Μενεσαίχμου εἰσαγγελίᾳ (fr. 86 Conomis). ὁ τὰς ἄρκυς, τουτέστι τὰ λίνα, φυλάττων. Syn. α 2129 ἀρκυωρός· ὁ τὰς ἄρκυς, τουτέστι τὰ λίνα, φυλάττων. (Su. α 3962; Phot. α 2834). **16** Schol. Nic. Ther. 803b ἀθέρων· ἀθέρας φησὶ τὸν φλοιὸν καὶ τὰς θήκας τοῦ σίτου· ἀνθέρικες τὰ κοινῶς ἄγανα, ἅπερ ὁ στάχυς προβάλλεται, ἐκκλίνων τὰς ἐκ τῶν μικρῶν ζῴων βλάβας, ὡς ὁ Μέγας Βασίλειος (Hex. 42 E). **17–19** Phot. σ 466 σπληνίον· οὐ τὸ φάρμακον, ἀλλὰ τὸ ὀθόνιον· καὶ σπλῆνα αὐτὸ τὸ πτύγμα τοῦ ὀθονίου. **25** Cf. scholl. I 15 (p. 9, 10) ad δέους, I 16 (p. 9, 18) ad τοῦ δέους et IV 61 (p. 99, 23) ad δέει.

10 ἀντὶ τοῦ om. T | ‹προάγ›ουσι T **25** φόβη T : correxi

VIII 10 (p. 198, 5) ‹ἐν τῇ Ὄσσῃ·› ὄσσα ἡ φήμη καὶ ἡ μαντεία καὶ ὄνομα ὄρους Θετταλικοῦ. *z*

VIII 11 (p. 198, 18) ‹παρείας·› Παρίας λίθος, Ι. *V*

VIII 15 (p. 200, 23) ‹μανότητος·› a. μανότης ἡ ἀραιότης καὶ ἔκλυσις· «ἀτρεμοῦσα γὰρ ὡς ὑπό τινος συμφυοῦς μανότητος». *z*

b. ἀραιότητος. *T*

VIII 17 (p. 201, 27) ‹ἐγγραύλεις·› αἱ ἐγγραύλεις καὶ ἐγκρασίχολοι καὶ λυκόστομοι λέγονται. τούτων ἡ πυκνὴ καὶ συνεχὴς νῆξις βόλος καλεῖται. *z*

VIII 17 (p. 202, 14) ‹ἁλιάδας·› ἁλιὰς τὸ ἁλιευτικὸν πλοῖον. *z*

VIII 18 (p. 202, 18) ‹τῇ πυρρινίδι·› τῇ Τυρ‹ρ›ηνίδι. *L*[1]

VIII 20 (p. 203, 18) ‹Ἀντανδρίᾳ·› Ἀντάνδρῳ. *L*[1]

VIII 20 (p. 203, 20) ‹Σκάμανδρος·› ὁ ἐν τῇ Τροίᾳ Σκάμανδρος καὶ Ξάνθος ὠνομάσθη ἐπεὶ ξανθὰς ἀποφαίνει πιούσας τὰς ὄϊς. *z*

VIII 21 (p. 204, 8) ‹κατειλεῖ·› δεσμεῖ. *T*

VIII 21 (p. 204, 8) καταιονήμασιν· καταβροχαῖς. *z*

VIII 21 (p. 204, 22) ‹ἀνίῃ·› ἀναπέμπετο. *T*

VIII 26 (p. 206, 9) ‹ἐλεφαντίσκια·› ἐλεφαντίσκια τὰ ἔκγονα τῶν ἐλεφάντων Αἰλιανὸς ὀνομάζει. *z*

VIII 27 (p. 206, 19) ‹ἔλλοπα·› ἔλλοψ εἶδος ἰχθύος. *z*

VIII 27 (p. 207, 2) ‹καταφρονήσουσιν·› δαπα‹νήσουσιν›. *T*

IX 1 (p. 208, 4) ‹καταδρομαῖς·› καταδύσεις. *T*

Diog **IX 3 (p. 209, 5)** ‹σέρφον·› πτερωτὸν μύρμηκᾳ ὡς Ἀριστο-

1–2 [Hdn.] Epim. p. 103 ὄσσα, ἡ φήμη καὶ ἡ μαντεία· Ὄσσα, ὄνομα ὄρους. Lex. spir. p. 209 Ὄσσα, ἡ φήμη, καὶ ἡ μαντεία, καὶ ὄνομα ὄρους. Cf. schol. I 48 (p. 21, 19) ad ὀττεύονται. **4–6** Hsch. μ 241 *μανότης· ἀραιότης (Plat. Tim. 72 c). **10–11** [Hdn.] Epim. p. 223 ἁλιάς, πλοῖον ἁλιευτικόν. Cf. schol. XI 12 (p. 265, 21) ad τὴν ἁλιάδα. **22** [Hdn.] Epim. p. 30 ἔλλοψ, ἄφωνος, ὁ ἰχθὺς, καὶ κλίνεται ἔλλοπος. **25–109,2** Hsch. σ 433 σέρφοι· οἱ πτερωτοὶ μύρμηκες (Aristoph. Av. 82; Nicoph. com. fr. 1, 2 K.-A.). Phot. σ 148 σέρφοι· οἱ πτερωτοὶ μύρμηκες, οὓς ἡμεῖς νύμφας. οὕτω Δίδυμος (fr. 13 Schmidt). Κάσσιος δὲ Λογγῖνος (fr. 65 Patillon-Brisson) σέρφος πτηνόν τι μικρὸν κώνωπι ἐμφερὲς κατὰ τὸ μέγεθος· μετὰ δὲ τοῦ τ στέρφους φησὶν εἶναι τοὺς πτερωτοὺς μύρμηκας. Su. σ 256 σέρφος· ζῷον μυρμηκῶδες. σέρφον ἐνόρχην σφαγιάζειν. καὶ παροιμία· ἔνεστι κἂν μύρμηκι κἂν σέρφῳ χολή.

12 Τυρηνίδι L[1] : correxi **25** μύρμηκ‹α› De Stefani

φάνης Σφηξί (352). καὶ παροιμία ὕπεστιν· «ἔνεστιν κἀν μύρμηκι καὶ σέρφῳ χολή». ἄλλοι δὲ θηρίδιόν τι μικρὸν ἀποδεδώκασι. *L*

IX 4 (p. 209, 20) ‹μαλακιεῖν·› μαλακιεῖν λέγουσι τοὺς ὑπὸ κρύους κεκμηκότας καὶ συνεσπασμένους. *L* Diog

IX 5 (p. 209, 23) ‹κατηγορεῖ·› κατηγορῶ σου τόδε καὶ κατηγορεῖ τὸ σκυλάκιον τὸ προελθὸν πρῶτον τῆς μητρὸς τὸν πατέρα ἤγουν δεικνύει ἐν ἑαυτῷ. *z*

IX 10 (p. 211, 24) ‹μόνος δὲ ἄρα ἐν αὐτοῖς·› εἶδος ἀετοῦ ἐστιν ὃς τοῦ Διὸς κέκληται, ὃς οὐχ ἅπτεται κρεῶν, ἀλλὰ πόαν σιτεῖται. *z*

IX 13 (p. 212, 23) ‹σύνθεμα·› κατασκεύασμα. *T*

IX 15 (p. 214, 1–2) ‹τῷ τοξικῷ·› εἶδος βοτάνης οὕτω λεγόμενον παρ' ἰατροῖς. L^1

IX 16 (p. 214, 11) ‹μαλακιοῦσαν·› a. χαυνουμένην. L^1

b. ‹μαλκιοῦσαν·› μαλκιεῖν κυρίως τὸ ὑπὸ κρύους κεκμηκέναι καὶ συνεσπάσθαι. Αἰλιανός· «οὐκοῦν μαλκιοῦσαν ἐκ τῶν κρυμῶν τῶν ζῴων τὴν ὄψιν ὑποθερμαῖνον τὸ μάραθρον καθαίρει, καὶ ὀξυωπέστερον ἀποφαίνει». *z* Diog

IX 17 (p. 214, 21) ‹τῆς εὐθημοσύνης·› τῆς εὖ ἐχούσης κατασκευῆς. L^1T

IX 17 (p. 215, 4) ‹τὸ κλύσμα·› τὸ κλυδώνιον. L^1

IX 17 (p. 215, 5) ‹στεγανόν·› στέγον. L^1T

IX 33 (p. 220, 19) ἀβρότονον· ἡ βοτάνη ἡ ἀναιροῦσα τὰς ἕλμινθας. *z*

IX 36 (p. 222, 9) ‹ἄδωνιν·› ἄδωνις ὄνομα ἰχθύος, ὃς οὕτως

3–4 Hsch. μ 195 μαλκίειν· τὸ ὑπὸ ψύχους συνεσπάσθαι τὰς χεῖρας. μ 196 μαλκίετον· μαλακῶς καὶ ἀσθενῶς ἔχετον. ἐπιεικῶς δὲ τοὺς ὑπὸ κρύους ἐσκληκότας (κεκμηκότας H: corr. Cobet) μαλκίειν λέγουσιν. Phot. μ 72 μαλκιῆν· ὑπὸ κρύους κατεσκληκέναι καὶ δυσκίνητος εἶναι. [Zon.] s.v. μαλακιεῖν· τοὺς ὑπὸ κρύους κεκμηκότας λέγουσι καὶ συνεσπασμένους. Cf. schol. IX 16 (p. 214, 11) ad μαλκιοῦσαν. **5–7** Schol. Eur. Or. 28 (ed. Dindorf) κατηγορεῖν· κατηγορεῖ τὸ σκυλάκιον τὸ προελθὸν πρῶτον τῆς μητρὸς τὸν πατέρα ἀντὶ τοῦ δεικνύει ἐν ἑαυτῷ. **15–18** Cf. schol. IX 4 (p. 209, 20) ad μαλακιεῖν.

1 Σφιγξί L : corr. De Stefani | κἂν L : corr. De Stefani | μύρμηκι $L^{p.c.}$ μύρμηκα $L^{a.c.}$ **2** σεριφω L : corr. De Stefani **3** λέγουσι scripsi : λέ( ) L λέγει Alpers **4** ὑποκρύους L : corr. Alpers **19** εὖ ἐχούσης om. T

ὠνομάσθη ἐπεὶ τὴν γῆν ἔχει φίλην καὶ τὴν θάλασσαν, ὥσπερ ὁ Ἄδωνις ὁ τοῦ Κινύρου παῖς δύο εἶχεν ἐρομένας θεάς, τὴν μὲν ὑπὸ γῆν οὖσαν, τὴν δὲ ἄνω γῆς. *z*

IX 42 (p. 224, 10–11) ‹τῷ ἑτέρῳ τῶν ὀφθαλμῶν ὁρῶσι·› οἱ θύννοι τῷ σκαιῷ ὀφθαλμῶν οὐχ ὁρῶσιν. Αἰσχύλος (fr. 308 R.)· «τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην». *z*

IX 43 (p. 224, 23) ὑποπρησθέντες· ἀντὶ τοῦ ὀγκωθέντες. *z*

IX 48 (p. 226, 9) ἐπιβαίνονται· γράφεται ἐπιμαίνονται. *L*[1]

IX 53 (p. 227, 20) ‹δέκα ἄλλοι·› γράφεται δεκάδα. *L*[1]

IX 54 (p. 227, 30) ‹ὀσφρήσωνται·› ὀσφραίνομαι ἐνεστώς, ὀσφρήσομαι μέλλων. *z*

IX 63 (p. 231, 15) ‹τοῦ θοροῦ·› θορὸς τὸ τῆς ἀφροδισίας ὀχείας. *L*

X 6 (p. 235, 7) ‹αὔρας μαλακάς·› ἀντὶ τοῦ μαλακοπνούς, ἡδείας. *L*[1]

X 8 (p. 235, 13) ‹θηλάζει·› ἐντεῦθεν δῆλον ὅτι θηλάζει ἡ μήτηρ τὸ βρέφος, ἀντὶ τοῦ θηλὴν προτείνει, οὐχὶ τὸ βρέφος θηλάζει τὴν μητέρα. ἐνταῦθα γὰρ περὶ τῆς θηλείας φησὶν ὅτι ἡ μήτηρ θηλάζει. ἐπὶ ταύτης τῆς σημασίας καὶ Φιλόστρατος χρῆται ἐν τῷ δευτέρῳ τῶν εἰς τὸν Τυανέα Ἀπολλώνιον (Vit. Apoll. II 14), λέγων περὶ τῶν λεαινῶν τῶν συλλαμβανουσῶν ἀπὸ τῶν παρδαλέων τὸ «ὅθεν κρύπτουσιν αὐτὰ καὶ θηλάζουσιν ἐν σκολιαῖς λόχμαις πλασάμεναι ἀφημερεύειν πρὸς θήραν». *L*[1]

X 9 (p. 235, 30) ‹πελιδνόν·› μολυβόχρουν. *L*[1]

X 10 (p. 236, 8) ‹ὑφίστασθαι·› ἀφίστασθαι ὀφείλει. *L*[1]

X 10 (p. 236, 18) ‹τέλειοι·› τὴν ἰσχὺν δηλονότι. *L*[1]

X 10 (p. 236, 20) ‹κατεάξαντες·› κατάξαντες ὀφείλει. *L*[1]

12–13 Hsch. θ 649 θορός· βάτης, ἀφροδισιαστής. *ὀχεία, ἡ ἔκκρισις τοῦ σπέρματος. **16–23** Cf. schol. VII 12 (p. 169, 26) ad θηλάζουσι. **24** Schol. Nic. Ther. 272 πελιδναί· μέλαιναι, μολυβδόχρους.

1 ὠνομάσθαι z : correxi **26** ζήτει praepos. scholio L[1]

X 12 (p. 237, 3) ‹ἐλέφαντος·› ἐλέφας ζῷον καὶ ὁ ἀπὸ τῶν ὀστέων αὐτοῦ κόσμος ἐλεφάντινος. σύνηθες δὲ τοῖς ποιηταῖς καί τισι τῶν πεζολόγων συγγραφέων ἀντὶ τῶν μερῶν τοῖς τῶν ὅλων ὀνόμασι χρῆσθαι, καθὸ Ὅμηρος «βοῦν ἀζαλέην» (Il. VII 238–239) λέγει, ἤγουν βύρσαν, καὶ «ὡς δ᾿ ὅτε τις ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ» (Il. IV 121), ἤγουν ἐλεφάντινον ὀστοῦν, καὶ «κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ, Ἄρεϊ δὲ ζώνην» (Il. II 478–479), ὥσπερ ἂν εἰ ἔλεγεν Ἄρης τὴν ζώνην καὶ τὴν κεφαλὴν Ζεύς. *fghnq* mosch

X 12 (p. 237, 3) ‹ὄγκος·› ὄγκος μὲν ἐπὶ σώματος, κόμπος δὲ ἡ διὰ λόγων ἔπαρσις. *fghnq* mosch

X 12 (p. 237, 3) ‹πάνυ·› ἰστέον ὅτι πολλὰ τῶν ἐπιρρημάτων τὰ προτακτικὰ τῶν τριῶν γενῶν ἄρθρα λαμβάνουσι καὶ ἐπιθέτων ὀνομάτων χώραν ἀναπληροῦσιν, οἷον ὁ πλησίον, ἡ πλησίον καὶ τὸ πλησίον, ὁ πέλας, ἡ πέλας καὶ τὸ πέλας, ὁ πάνυ, ἡ πάνυ καὶ τὸ πάνυ. ἃ δὲ ἄκλιτα μένοντα, πτώσεις ἔχουσι μετὰ τῶν ἄρθρων καὶ ἀριθμούς, κατὰ τὰ ἑβραικὰ ὀνόματα, οἷον ὁ ἔγγιστα, τοῦ ἔγγι- mosch

1–8 Hsch. ε 2033 ἐλέφαντα· τὸ ἐλεφάντινον ὀστοῦν· «ὡς δ᾿ ὅτε τις ἐλέφαντα γυνή» (Hom. Il. IV 141). Eust. in Il. v. 1 p. 720, 19–23 ἰστέον δέ, ὅτι ἐλέφαντα μὲν λέγει τὸ ἐλεφάντινον ὀστοῦν, τῷ τοῦ ὅλου ὀνόματι ὀνομάζων τὸ μέρος. ᾧ τρόπῳ καὶ βοῦς τὸ δέρμα, ἡ βύρσα δηλαδή. Schol. Pind. Ol. I 41 (p. 9 Σεμιτέλος) ἐλέφαντι· ἤγουν ἐλεφαντίνῳ ὀστῷ, τῷ τοῦ ὅλου ὀνόματι ὀνομάζων τὸ μέρος, ᾧ τρόπῳ καὶ βοῦς, τὸ δέρμα, ἡ βύρσα δηλαδή· καὶ Ὅμηρος (Il. IV 141)· «ὡς δ᾿ ὅτε τίς τ᾿ ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ»· ἀντὶ ἐλεφάντινον ὀστοῦν τῷ φοινικῷ χρώματι βάψῃ. **9–10** Schol. Anth. Pal. IX 442, 4 p. 61 Luppino ὄγκον· κόμπος ἡ διὰ λόγου ἔπαρσις, ὄγκος καὶ ἐπὶ σώματος. **11–112,2** Syncell. Synt. 1545–1554 εἰδέναι δὲ χρὴ ὅτι τὰ προτακτικὰ τῶν τριῶν γενῶν ἄρθρα πολλάκις τῶν ἐπιρρημάτων προτασσόμενα δι᾿ ὅλων τῶν πτώσεων καὶ ἀριθμῶν, ἐπιθέτων ἀναπληροῦσι ὀνομάτων χώραν, φυλαττομένης δηλαδὴ τῆς ἀκλίτου φυσικῆς ἐπιρρηματικῆς ἰδιότητος, οἷον «ὁ πάλαι, τοῦ πάλαι, τῷ πάλαι, τὸν πάλαι» καὶ μέχρι τῶν πληθυντικῶν καὶ ἐπὶ τῶν τριῶν γενῶν, οἷον «ἡ πάλαι» καὶ «τὸ πάλαι»· καὶ πάλιν «ὁ πλησίον, τοῦ πλησίον, τῷ πλησίον, τὸν πλησίον» καὶ «ἡ πλησίον, τῆς πλησίον»· «ὁ πέλας, τοῦ πέλας, ἡ πέλας, τῆς πέλας»· καὶ τὰ πληθυντικὰ «οἱ πλησίον, αἱ πλησίον, οἱ πέλας, αἱ πέλας», «ὁ ἔγγιστα» καὶ «οἱ ἔγγιστα» καὶ «αἱ ἔγγιστα»· «ὁ πάνυ, τοῦ πάνυ» καὶ «ἡ πάνυ, τῆς πάνυ»· «ὁ ἄνω» καὶ «ἡ ἄνω» καὶ «ὁ ἀνωτάτω» καὶ «ἡ ἀνωτάτω».

1 ἐλέφας ζῷον f g h q ἐλέφαντος ἡ εὐθεία ὁ ἐλέφας n **3** γραφέων n **12** προτακτινὰ f προστακτικὰ g **14–112,2** ἡ πέλας – ὡσαύτως om. g **15** ἃ δὴ ἄκλιτα h n q **16** καὶ τὰ ἑβραικὰ n κατὰ τὰ ἑβραικὰ cett. | οἷον om. n

στα, τῷ ἔγγιστα, οἱ ἔγγιστα, τῶν ἔγγιστα καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. *fghnq*

mosch **X 12 (p. 237, 3–4)** a. ‹πάνυ μέγας·› τὸ μέγας μεγάλου κλίνεται ἀπ' ἄλλης εὐθείας ἀχρήστου καὶ διὰ τοῦτο παρασεσιωπημένης, τὰ τοιαῦτα δὲ ἑτερόκλιτα λέγεται, οἷον γυνὴ γυναικός, πολὺς πολλοῦ καὶ ἕτερα, ἐφ' οἷς συμβαίνει τὰς μὲν εὐθείας πλαγίας ἐν χρήσει μὴ ἔχειν οἰκείας, τὰς δὲ πλαγίας ταὐτὸ μὲν ταῖς εὐθείαις ταύταις σημαίνειν, εὐθείας δὲ μὴ ἔχειν οἰκείας ἐν χρήσει, δι' ἃ δὴ συνέρχονται καὶ τελείαν κλίσιν ἀποτελεῖν. τοῦτο δὲ καὶ ἐπὶ πολλῶν ῥημάτων συμβαίνει ὡς εἶναι τόνδε μὲν τυχὸν τὸν ἐνεστῶτα ἐν χρήσει, τούτου δὲ τὸν μέλλοντα ἄχρηστον, τόνδε δὲ τὸν μέλλοντα ἐν χρήσει καὶ ταὐτὸ τῷ ἐνεστῶτι τούτῳ σημαίνοντα, οἰκεῖον δὲ ἐνεστῶτα ἐν χρήσει μὴ ἔχοντα. καὶ ἐπὶ τοῦ ἀορίστου καὶ τῶν ἄλλων χρόνων ὁμοίως, ἃ συνάπτεται καὶ τελείαν κλίσιν ἀποτελεῖ, οἷον φέρω, οἴσω, ἤνεγκα, ἀφ' ὧν ποιητικῶς μὲν φερτόν, κοινῶς δὲ οἰστὸν τὸ αὐτό, καὶ ἀνύποιστον τὸ μὴ οἰστόν, καὶ ὀϊστὸς τὸ βέλος κατὰ διάλυσιν. ἀπὸ δὲ τοῦ οἴσω, ὃ δηλοῖ τὸ ὑπολήψομαι, ὃ ποιητικῶς γράφεται ἐν τοῖς ἐνεργητικοῖς, ἀνώϊστον τὸ ἀνέλπιστον διὰ τοῦ Ω μεγάλου. τρέχω, δραμοῦμαι, ἔδραμον· πίπτω, πεσοῦμαι, πέπτωκα· ὑπομιμνήσκω, ὑπομνήσω· μένω, μεμένηκα· μέλει, μελήσει, ὃ πρῶτον οὐκ ἔχει πρόσωπον οὔτε δεύτερον, καὶ πολλὰ ἕτερα. *fhnq*

mosch b. μέγιστος. *n*

mosch **X 12 (p. 237, 4)** ‹ἐδώδιμα·› a. ἐδώδιμον τὸ βρώσιμον παρὰ τὸ ἔδειν. *fhnq*

mosch b. δυνάμενα βιβρώσκεσθαι. *n*

3–5 Choer. in Theodos. I p. 122, 15–21 τὸ δὲ λᾶας τὸ προσηγορικὸν καὶ τὸ μέγας τὸ ἐπίθετον καὶ συνεσταλμένον ἔχουσι τὸ α καὶ διὰ καθαροῦ τοῦ ος κλίνονται, οἷον ὁ λᾶας τοῦ λάαος καὶ κατὰ κρᾶσιν τῶν δύο αα εἰς ἓν μακρὸν τοῦ λᾶος, ‹M 462› λᾶος ὑπὸ ῥιπῆς· καὶ πάλιν ὁ μέγας τοῦ μέγαος, ἡ γὰρ μεγάλου γενικὴ ἑτερόκλιτός ἐστιν ὡς ἀπὸ τῆς μεγάλος εὐθείας, ἐξ ἧς καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ μεγάλοι. **24–25** Hsch. ε 543 ἐδώδιμος· τρωκτός. βρώσιμος.

1 [οἱ] ἔγγιστα n **3** [τ]ὸ μέγας n **6–7** τὰς μὲν εὐθείας πλαγείας f τὰς εὐθείας πλαγίας n q **9** ἀποτελεῖ h$^{p.c}$ n q **10–11** τυχὸν post τὸν ἐνεστῶτα transp. h **11–12** τούτου δὲ τὸν μέλλοντα – ἐν χρήσει om. q **11–12** τόνδε τὸν μέλλοντα n **17** ὑπολείψομαι h **18** ὃ ante ποιητικῶς om. n **20** ὑπομνήσω om. h

X 12 (p. 237, 4) ‹ὅτι μή·› εἰ μή. *n* mosch

X 12 (p. 237, 5) ‹προβοσκίς·› a. προβοσκὶς καὶ προνομαία ταὐτό· τὸ μὲν ἀπὸ τοῦ βόσκεσθαι, τὸ δὲ ἀπὸ τοῦ νέμεσθαι. *fhnq* mosch

b. ἡ προνομαία. *n* mosch

X 12 (p. 237, 5) ‹κεράτων·› κέρας τὸ τῶν ζώων καὶ ἀπὸ τούτου κέρας ἡ βασιλεία, καὶ τὸ κοινῶς κερατάριον, καὶ μέρος τῆς παρατάξεως κέρατι ζώου ἐοικός. δύο δὲ ταῦτα εἰσί· τὸ μὲν δεξιόν, τὸ δὲ εὐώνυμον. κέρας καὶ ὁ στενὸς καὶ ἐπιμήκης λιμήν, ὡς ὁ τῆς Κωνσταντίνου. *fhnq* mosch

X 12 (p. 237, 6) ‹ἦν·› σύνηθες τοῖς Ἀττικοῖς τὸ τῷ ἦν ἀντὶ τοῦ ἐστι χρῆσθαι. *fhnq* mosch

X 12 (p. 237, 7) ‹ἐπιθυμιάσαι αὐτοῦ·› ἀπ᾽ αὐτοῦ. *n* mosch

X 12 (p. 237, 7) ‹ἀποδιδράσκει·› ἀποφεύγει. *n* mosch

X 13 (p. 237, 22) ‹εὐημερίας·› ἀντὶ τοῦ εὐδίας. L^1

X 13 (p. 237, 28) κόλλοψ· λέγεται τὸ νωτιαῖον καὶ τραχηλιαῖον τοῦ βοὸς δέρμα, διὰ τὸ εἰς κόλλαν εὐθετεῖν. *W*

X 13 (p. 238, 2) ‹πεπωρωμένῳ·› πεπηγμένῳ. L^1

X 14 (p. 238, 24–25) ‹ἐξ ὑπτίας νέοντα·› τριπλῶς φησὶ τὸν ἱέρακα πέτεσθαι· κατά τε πλάτος τοῦ ἀέρος, καὶ κατὰ ὕψος, καὶ πάλιν εἰς βάθος ἀφ᾽ ὕψους κάτω, ὅτε καὶ ὕπτιος φέρεται. τοῦτο γάρ φησι τὸ «ὡς ἐξ ὑπτίας νέοντα», ἤγουν ἐξ ὑπτίας κινήσεως καὶ τὸ ἐπαγόμενον τοῦτο λέγει τὸ «πρὸς τὸν οὐρανὸν ὁρᾷ». L^1

X 14 (p. 239, 2) ‹ἔκτοκον·› ἔγγονον. L^1

2–3 Hsch. π 3598 *προνομαία· προβοσκ[ησ]ίς. **5–9** [Zon.] s.v. κέρας. καὶ ὄνομα ποταμοῦ. καὶ τὸ κέρατον καὶ τὸ κερατάριον καὶ ἄλλα πολλὰ σημαίνει. **10–11** Cf. schol. I 2 (p. 2, 11) ad ἦν. **13** Cf. schol. IV 61 (p. 99, 23) ad ἀποδιδράσκουσι. **15–16** [Zon.] s.v. κόλλοψ· ἡ χορδή, καὶ τὸ νωτιαῖον, καὶ τὸ τραχηλιαῖον δέρμα τοῦ βοός. διὰ τὸ εἰς κόλλαν ἐπιτήδειον εἶναι. Schol. Plat. Resp. 531b Greene κολλόπων· κολάβων. οὕτω δὲ λέγονται τὰ τῶν χορδῶν ἐπιτόνια, περὶ ἃ εἵλυνται αὗται. τὸ γὰρ νωτιαῖον τοῦ τραχήλου τοῦ βοὸς μέρος κόλλοψ καλεῖται, διὰ τὸ εἰς κόλλαν εὐθετεῖν.

2 προνομέα f **3** ταὐτόν n **4** προνομέα n : correxi **8** τὸ δὲ εὐώνυμον. κέρας καὶ ὁ στενὸς f h q τὸ δὲ ἐξευώνυμον μέρος, καὶ ὁ στενὸς n **9** Κωνσταντίνου πόλεως n **10** σύνηθες δὲ h | τὸ τῷ ἦν scripsi τὸ ἦν f n $q^{a.c.}$ τῷ ἦν h $q^{p.c.}$

mosch **X 15 (p. 239, 15)** ‹ἄθηλυ·› a. ἰστέον ὅτι καὶ ὁ θῆλυς γράφεται καὶ ἡ θήλεια καὶ τὸ θῆλυ. ἐπὶ μὲν οὖν τῶν ἐπικοίνων γενῶν εἰ ἀρρενικῶς προφέρονται οἷον ὁ ἀετὸς οὕτω λέγεις καὶ τὰ θήλεα αὐτῶν ὁ ἀετὸς ἡ θήλεια· εἰ δὲ θηλυκῶς οἷον ἡ χελιδὼν οὕτω λέγεις τὰ ἄρρενα ἡ χελιδὼν ὁ ἄρρην. *fgnq*

mosch b. τὰ προπερισπώμενα ὀνόματα ἢ παροξύτονα ἢ ὀξύτονα δισύλλαβα ἀναβιβάζουσιν ἐν τῇ συνθέσει τὸν τόνον καὶ τοῦ ἁπλοῦ τὴν κλίσιν φυλάττει, οἷον δοῦλος εὔδουλος εὐδούλου, θῆλυ ἄθηλυ ἀθήλεος, πλησίος παραπλήσιος παραπλησίου, χιτὼν εὐχίτων εὐχίτωνος, αἰὼν εὐαίων εὐαίωνος· πλὴν τῶν εἰς ΩΝ βαρυτόνων. ταῦτα γὰρ καὶ τὴν κλίσιν φυλάττουσι τοῦ ἁπλοῦ καὶ τὸν τόνον, οἷον μέδων μέδοντος, Αὐτομέδων Αὐτομέδοντος, καὶ τῶν εἰς ΩΝ περισπωμένων, οἷον Ξενοφῶν, φιλοξενοφῶν φιλοξενοφῶντος. τὰ δὲ τροχαϊκὰ ῥήματα τὰ προπερισπώμενα οὐκ ἀναβιβάζει τὸν τόνον ἐν τῇ συνθέσει· οἷον εἶπε κατεῖπε, εἶδε κατεῖδε, πλὴν τοῦ οἶδα σύνοιδα καὶ οἶσθα σύνοισθα. *fgnq*

mosch **X 15 (p. 239, 15)** ‹εἰς τὴν σφαῖραν·› ἐντὸς τῆς σφαίρας. *n*

1–5 Syncell. Synt. 77–81 ἐπίκοινα δὲ ὅταν ἡ αὐτὴ φωνὴ μετὰ τοῦ αὐτοῦ ἄρθρου, οἷον «ἡ χελιδών» ἐπὶ τοῦ ἀρσενικοῦ καὶ θηλυκοῦ προφέρηται· διαστέλλοντες δὲ τὸ ἄρσεν ἀπὸ τοῦ θήλεος, λέγομεν «ἡ χελιδὼν ὁ ἄρσην», καὶ «ἡ χελιδὼν ἡ θήλεια»· καὶ ὁ ἀετός ἐπὶ τοῦ ἀρσενικοῦ καὶ θηλυκοῦ, διαστέλλοντες δὲ τὸ θῆλυ ἀπὸ τοῦ ἄρσενος, λέγομεν «ὁ ἀετὸς ἡ θήλεια» καὶ «ὁ ἀετὸς ὁ ἄρσην». **11–13** Hdn. κλίσ. ὀνομ. p. 727, 24–33 τὰ εἰς ων λήγοντα σύνθετα εἴτε βαρύτονα ἢ εἴτε ὀξύτονα εἴτε περισπώμενα τὴν τῶν ἁπλῶν φυλάττει κλίσιν οἷον χθών χθονός ἐνοσίχθων ἐνοσίχθονος (ὁ τὴν γῆν κινῶν), Μέμνων Μέμνονος Ἀγαμέμνων Ἀγαμέμνονος, τέκτων τέκτονος ἀρχιτέκτων ἀρχιτέκτονος, γέρων γέροντος ὠμογέρων ὠμογέροντος, Μέδων Μέδοντος Αὐτομέδων Αὐτομέδοντος, χιτών χιτῶνος χαλκοχίτων χαλκοχίτωνος, αἰών αἰῶνος εὐαίων εὐαίωνος, θυρών θυρῶνος προθυρών προθυρῶνος, κοιτών κοιτῶνος προκοιτών προκοιτῶνος, δαιτυμών δαιτυμόνος φιλοδαιτύμων φιλοδαιτύμονος, Ξενοφῶν Ξενοφῶντος φιλοξενοφῶν φιλοξενοφῶντος, Ποσειδῶν Ποσειδῶνος μισοποσείδων μισοποσείδωνος.

1 [ἰστ]έον n | ὁ θῆλυς f g q ἡ θῆλυς n **3** ἀρρενικῶς προφαίνονται n | ὁ ante ἀετὸς om. f | λέγεις τὰ θήλεα g q λέγεις τὴν θήλειαν n **4–5** λέγεις τὸν ἄρρενα n **7** τὸν λόγον q τὸν τόνον cett. **9** παραπλησίον g **10** εὐαίως g **11** καὶ τὴν κλήσιν g[a.c.] **12** μέδον g[a.c.] **13** Ξενοφῶν Ξενοφῶντος n fort. recte **14** ἀναβιβάζουσι n

X 15 (p. 239, 16) ‹εἴκοσιν·› a. τὸ εἴκοσι, τὸ πέρυσι, τὸ τοιοῦτο, τὸ τοσοῦτο καὶ τὸ ταὐτὸν εἰ φωνῆεν ἐπιφέρεται προσλαμβάνουσι τὸ N, εἰ σύμφωνον δὲ οὐδαμῶς. *fgnq* mosch

b. ἐπί. *n* mosch

X 15 (p. 239, 16) ‹ἡμερῶν·› ἡμέρα κοινόν, ἀφ' οὗ ἰσημερία καὶ ἡμερησία ὁδὸς καὶ διάστημα ἡμερήσιον, ὃ ἄν τις ἐπὶ μιᾶς ἡμέρας διέλθοι. ἦμαρ δὲ ποιητικόν, ἀφ' οὗ αὐτῆμαρ ἐπίρρημα, ἤγουν ἐν μιᾷ ἡμέρᾳ, καὶ ἐννῆμαρ ἐν ἐννέα. *fgnq* mosch

X 15 (p. 239, 16) ‹δράσας·› ποθήσας. *n* mosch

X 15 (p. 239, 16) ‹θάλψας·› a. θάλπειν τὸ θερμαίνειν, καὶ ἀπὸ τούτου θαλπωρὴ ποιητικῶς, ὃ κοινῶς λέγεται θάρρος καὶ θάρσος. *fgnq* mosch

b. θερμάνας τὴν σφαῖραν. *n* mosch

X 15 (p. 239, 17) ‹τῇ ἐπὶ ταύταις·› τῇ μετὰ τὴν ὀκτωκαιεικοστήν. *n* mosch

X 15 (p. 239, 17) ‹προάγει·› ἐξάγει. *n* mosch

X 15 (p. 239, 18) ‹Αἰγυπτίων·› ἐπί. *n* mosch

X 15 (p. 239, 18) ‹μάχιμοι·› μάχομαι καὶ πολεμῶ καὶ παλαίω καὶ τἄλλα ὅσα οὐ μᾶλλον ἐνέργειαν ἐμφαίνουσιν ἢ πάθος πρὸς δοτικὴν ἔχει τὴν σύνταξιν, ἀναμαχέσασθαι δέ ἐστι τὸ μετὰ τὴν ἧτταν ἀνακαλέσασθαι τὴν μάχην. ἀπὸ τοῦ μάχεσθαι μάχιμος ὡς ὁ ὠφέλιμος ἀπὸ τοῦ ὠφελῶ. *fgnq* mosch

X 15 (p. 239, 18) ‹δακτυλίων·› δάκτυλοι οἱ τῶν χειρῶν καὶ τῶν ποδῶν. ὀνομάζεται δὲ ἕκαστος αὐτῶν οὕτως· ἀντίχειρ ὁ τῶν mosch

1–3 Schol. Aristoph. Plut. 982 (ed. Dübner) τὸ εἴκοσιν Ἀττικὸν μετὰ τοῦ ν. **5–8** Moschop. Sched. p. 19 ἦμαρ, ἡ ἡμέρα, ἀφ' οὗ ἐννῆμαρ ἐπίρρημα ἀντὶ ἐν ἡμέραις ἐννέα, καὶ αὐτῆμαρ ἐπίρρημα καὶ αὐτό, ἀντὶ τοῦ ἐν αὐτῇ τῇ ἡμέρᾳ. **10–12** Porph. Quaest. Hom. (rec. V) 64 Sodano εἰ δ' ὁ φόβος ψύχει, δῆλον ὡς τὸ θάρσος θάλπει· εἰκότως ἄρα «θαλπωρὴν» λέγει τὸ θάρσος. **18–22** Epim. Hom. μ 40 μαχήσομαι (Γ 290)· μαχῶ μαχήσω· τὸ μαχῶ ἐκ τοῦ μάχω βαρυτόνου, ὃ οὐκ εἴρηται, τὸ δὲ παθητικὸν μάχομαι· ὁ γὰρ χαρακτὴρ παθητικός ἐστι, τὸ δὲ σημαινόμενον ἐνέργειαν δηλοῖ. **23–116,5** [Hippocr.] Epist. ad Ptol. p. 289 ὀνόματα δακτύλων, ἀντίχειρ, λιχανός, μέσος (ὃς καὶ σφάκελος), παράμεσος (ὃς καὶ ἐπιβάτης), καὶ μικρὸς (ὃς καὶ μύωψ).

2 τοσοῦτον q | τὸ ταὐτὸ n | φ[ω]νῆεν n **3** σύμφ[ωνον] n **6** ἡμερησ[ία] n ἡμερισία g **7** ἡμ[έρας] n **8** ἐν ἐννέα f n q καὶ ἐννέα g **19** ἐνέργειαν σημαίνουσιν cum ἐμφαίνουσιν s.l. n **22** ὁ ante ὠφέλιμος om. n **23–24** τῶν ante ποδῶν om. n

ἄλλων κεχωρισμένος, ὁ μετ᾿ ἐκεῖνον λιχανός, εἶτα σφάκελος, ὁ μετ᾿ αὐτὸν ἐπιβάτης, καὶ ὁ πάντων ἔσχατος καὶ μικρότατος μύωψ. ἀπὸ τούτου δάκτυλοι καὶ οἱ τῷ ἡρωϊκῷ μέτρῳ ἁρμόζοντες πόδες, καὶ δακτύλιοι οἱ ἐπὶ τῶν δακτύλων φορούμενοι, ὥσπερ ἀπὸ τοῦ τραχήλου ἐπιτραχήλιοι κόσμοι. *fgnq*

mosch **X 15 (p. 239, 19)** ‹αἰνιττομένου·› a. αἰνίττομαι τὸ συμβολικῶς δηλῶ. *fgnq*

mosch b. συμβολικῶς δηλοῦντος. *n*

mosch **X 15 (p. 239, 19)** ‹νομοθέτου·› νόμος ἔγγραφος συνήθεια, συνήθεια δὲ ἄγραφος νόμος· γίνεται δὲ νόμος παρὰ τὸ νέμω τὸ μερίζω, νέμω δὲ δηλοῖ καὶ τὸ βόσκω, καὶ νέμεται τὸ βόσκεται, ἀφ᾿ οὗ νομὴ καὶ εὐνομία, ἡ καλὴ νομή. λέγεται εὐνομία καὶ ἐπὶ τῆς καλῶς τοῖς νόμοις χρωμένης πόλεως. *fgnq*

mosch **X 15 (p. 239, 19)** ‹δεῖν·› δέον εἶναι. *n*

mosch **X 15 (p. 239, 19)** ‹ἄρρενας·› ὁ ἄρρην καὶ ἄρσην λέγεται, ὥσπερ τὸ θάρρος θάρσος, καὶ ἀναλογώτερον τὸ ἄρσην ἐστίν, ἀπὸ γὰρ τοῦ ἀρόσαι γίνεται. πυρρὸς δὲ καὶ πυρσὸς διαφέρει· τὸ μὲν γὰρ τὸν ὑπολεύκους ἔχοντα τὰς τρίχας δηλοῖ, πυρσὸς δὲ ἐπὶ τῆς εἰς ὕψος αἰρομένης φλογὸς λαμβάνεται. *fgnq*

6–8 Moschop. Sched. p. 154 αἰνίσσομαι τὸ διὰ συμβόλων αἰνιγματωδῶς δηλῶ. **9–10** Lex. Theaet. 159 νόμος· ἡ ἔγγραφος συνήθεια, συνήθεια δὲ ἄγραφος νόμος. **10–13** Choer. Epim. p. 31, 17–22 νόμος· παρὰ τὸ νέμω τὸ μερίζω νέμος καὶ νόμος. τὸ νέμω πόσα σημαίνει; τέσσαρα. τὶ καὶ τί; νέμω τὸ μερίζω, ἐξ οὗ καὶ νόμος, καὶ ὄνομα τὸ μεμερισμένον πᾶσι· νέμω τὸ βόσκω, ἐξ οὗ καὶ νομεύς, ὁ βοσκός, καὶ νομὴ ἡ βοσκή· νέμω τὸ πορεύομαι, ἐξ οὗ καὶ νέμεται, τὸ ἐπιπορεύεται· νέμω τὸ μέμφομαι, ἐξ οὗ καὶ νέμεσις ἡ μέμψις. Thom. Mag. Ecl. p. 249, 18–250, 2 ἀπὸ τοῦ νέμομαι τὸ βόσκω νομή ἡ βοσκή, καὶ εὐνομία, ὅταν νομῆς εὖ ἔχωσι τὰ ζῶα· ἀπὸ δὲ τοῦ νέμω τὸ μερίζω νόμος, καὶ διανομὴ ἡ πρὸς πολλοὺς δόσις καθ᾿ ἕνα· ὅθεν καὶ εὐνομία, ὅταν πόλις καλῶς ὑπὸ νόμων διοικῆται. **15–17** Schol. Hom. Od. 1, 1f ἄνδρα· ἀνὴρ παρὰ τὸ ἀνύειν δύνασθαι γέγονε, γυνὴ δὲ παρὰ τὸ γεννᾶν, ἄρσην δὲ παρὰ τὸ ἀρόσαι. **17–19** [Zon.] s.v. πυῤῥός· ὁ ξανθός. s.v. πυρσός. ὁ λαμπτήρ· ἡ πυρκαϊά.

3 ἡρωϊκῷ f g q ἐπικῷ n **4–5** ἐπὶ τοῦ τραχήλου g n **7** δηλοῖ f n **9** [ἔγγρ]αφος n **10** [γί]νεται n **11** καὶ ante τὸ βόσκω om. n **13** χρομένης g **15** ὁ ἄρην g | καὶ ὁ ἄρσην n **16** καὶ ante ἀναλογώτερον om. n **16–17** ἀπὸ γὰρ τοῦ ἀρόσομαι g ἀπὸ τοῦ ἀρόσαι n ἀπὸ γὰρ τὸ ἀρόσαι q **19** εἰς ὕψος post αἰρομένης transp. q | εἰς ante ὕψος om. g | φλογὸς λέγεται (λαμβάνεται s.l.) q

X 15 (p. 239, 20) ‹πάντῃ·› κατὰ πάντα. *n* mosch

X 15 (p. 239, 21) ‹μετείληχεν·› τὸ λαγχάνω αἰτιατικῇ mosch συντάσσεται κοινῶς, ποιητικῶς δὲ γενικῇ, οἷον λελάχωσι πυρός (cf. Hom. Il. VII 79–80 etc.)· μεταλαγχάνειν δὲ ἀεὶ γενικῇ. *fgnq*

X 16 (p. 240, 1) ‹ἀλφῶν·› ἀλφὸς ἡ νόσος καὶ ἀλφὸς ὁ ἄνθρωπος ὁ πάσχων τὸ νόσημα. *L^1*

X 17 (p. 240, 16) ‹ταῖς τροφαῖς·› γράφεται τῶν τροφῶν. *L^1*

X 17 (p. 240, 17) ‹ἐξίτηλον·› ἐξίτηλον κυρίως ἐπὶ τῶν βαπτομένων ὅταν ἀποβάλωσι τὸ χρῶμα, ᾧ ἐναντίον τὸ δευσοποιόν. *L^1*

X 17 (p. 240, 21) ‹μιγνυμένων·› πηγνυμένων. *L^1*

X 17 (p. 241, 1) ‹αἱ ναῦς·› σημείωσαι αἱ ναῦς ἐπὶ τῆς εὐθείας τῶν πληθυντικῶν. *L^1*

X 17 (p. 241, 2) ‹ἐπιβουλῆς·› τῆς λεπτῆς ἐπινοίας. *L^1*

X 18 (p. 241, 4) ‹ἀκούω·› τὸ ἀκούειν κυρίως ἀπὸ γενικῆς εἰς mosch αἰτιατικὴν ἔχει τὴν σύνταξιν, καὶ εἰ μὲν χωρὶς τοῦ ὀργάνου κεῖται δι᾽ οὗ τις ἀκούει ἀόριστόν ἐστι παρά τινος ἀκούει, εἴτε παρὰ τοῦ πρώτως εἰπόντος, εἴτε δι᾽ ἄλλου μέσου, εἴτε διὰ γραπτῶν λόγων. ἀκούει δὲ τοῖς ὠσὶ τὸ παρόντος αὐτοῦ τοῦ λέγοντος ἀκούειν καὶ μὴ δι᾽ ἄλλου μέσου ἢ διὰ γραπτῶν λόγων, ὥσπερ ὁρᾶν τοῖς ὀφθαλμοῖς τὸ μὴ διὰ φαντασίας ὁρᾶν ἢ ἀναπλάττειν τὰ ὑπ᾽ ἄλλων εἰρημένα, ἀντιδιαιρεῖται γὰρ πρὸς ταῦτα τὸ ὁρᾶν τοῖς ὀφθαλμοῖς. καὶ καθόλου δὲ ἐφ᾽ οἷς ἐστι πρὸς ἄλλο ἀντιδιαίρεσις τὸ ὄργανον προσλαμβάνεται καὶ ἐπίθετον ἐπὶ τῶν φύσει προσόντων τῷ πράγματι,

2–4 Georg. Lacap. Epim. p. 132, 12–15 Lindstam σημείωσαι ὅτι τὸ λαγχάνω συντάσσεται καὶ γενικῇ καὶ αἰτιατικῇ. ὅτε δὲ συντάσσεται γενικῇ, νοεῖται ἡ αἰτιατικὴ ἐλλειπτικῶς, οἷον· ἔλαχον οὐσίας καὶ ἔλαχον ὕπνου, ἀντὶ τοῦ μέρος οὐσίας καὶ μέρος ὕπνου. **5–6** Schol. Nic. Ther. 332d *ἀλφοί· νόσος τις, ἡ λεγομένη λέπρα. **8–9** Et. Gud. s.v. ἐξίτηλον· ἀμαυρόν, ἀφανές, εὐτελές, χαῦνον· ἀπὸ μεταφορᾶς τῆς πορφύρας, ἥτις, ὅταν μὴ ἔχῃ τὸ βάμμα δευσοποιόν, τῷ χρόνῳ ἐξίησι τὸ τεθηλός. τὸ δὲ δευσοποιὸν τίθεται κυρίως ἡ λέξις ἐπὶ τῶν βαπτομένων ἐρίων· δευσοποιὸς γὰρ λέγεται βαφὴ ἡ ἔμμονον καὶ δυσέκπλυτον ἔχουσα τὸ ἄνθος. **14–15** Syncell. Synt. 651–654 τὰ πρὸς αἴσθησιν λαμβανόμενα, πρὸς ἀκοήν, γεῦσιν, ὄσφρησιν, καὶ πρὸς γενικὴν συντάσσεται καὶ πρὸς αἰτιατικήν· ἀκούω σου καὶ ἀκούω σε, ὀσφραίνομαί σου καὶ ὀσφραίνομαί σε, γεύομαί σου καὶ γεύομαί σε· καὶ τὸ αἰσθάνομαι ὁμοίαν σύνταξιν ἔχει.

10 ζήτει praepos. scholio L^1 **18** ἀκούειν δὲ τοῖς ὠσὶ n **20** ἀναπλάττοντα codd. : correxi **21** πρὸς ante ταῦτα om. n

οἷον βαδίζω τοῖς ποσίν, ἀντιδιαιρεῖται γὰρ πρὸς τὸν ἐφ᾽ ἵππον βαδίζοντα, καὶ τύπτω τῇ χειρί, δυνατὸν γὰρ τύψαι καὶ διὰ ῥάβδου καὶ δι᾽ ἑτέρων, καὶ διδάσκω τῷ στόματι, δυνατὸν γὰρ διδάσκειν καὶ διὰ πράξεως· καὶ τάφρος δὲ ὀρυκτὴ λέγεται πρὸς τὰς ὑπὸ παρόδου ὕδατος γενομένας ἢ ἄλλου τρόπου τινός. εἰ δὲ μή ἐστι πρὸς ὃ ἀντιδιαιρεθήσεται τὸ λεγόμενον περιττὸν ἢ τὸ ὄργανον προσλαμβάνειν ἢ τὸ τοιοῦτον ἐπίθετον, οὕτω λευκὴ χιὼν λέγεται, ἤγουν οὐ φαντασίαν μὲν παρέχουσα λευκότητος ὥσπερ τὸ ὕδωρ, μὴ φύσει δὲ οὖσα τοιαύτη, ἀλλ᾽ ἐκ τῆς τῶν πεπυκνωμένων νεφῶν ἀποθραύσεως καὶ κοπῆς, φύσει λευκὴ γινομένη, διὰ τῆς ἀφρώδους συμπήξεως τῶν ὑγρῶν. ἀπὸ τοῦ ἀκούω ἀκοὴ ἡ ἀκουστικὴ δύναμις καὶ τὸ ἀκουόμενον, ὥσπερ ἀπὸ τοῦ ὁρᾶν ὅρασις ἡ ὁρατικὴ δύναμις καὶ τὸ ὁρώμενον, καὶ ἀπὸ τοῦ ὀσφραίνεσθαι ὄσφρησις, ἐπὶ τῆς ὀσφραντικῆς δυνάμεως καὶ ἐπὶ τοῦ ὀσφρωμένου, οἷον ἡ ὄσφρησις τοῦ ῥόδου ἡδεῖα, καὶ γεῦσις ἡ γευστικὴ δύναμις καὶ ἐπὶ τοῦ γευστοῦ, οἷον ἡ γεῦσις τοῦ μέλιτος γλυκεῖα, καὶ ἁφὴ ἡ αἴσθησις δι᾽ ἧς αἰσθανόμεθα τὰ θερμὰ καὶ ψυχρά, καὶ τὰ μαλακὰ καὶ σκληρά, καὶ τραχέα καὶ λεῖα, καὶ ἐπὶ τῶν ὑποκειμένων τῇ ἁφῇ, οἷον ἁφὴ ἡ τῶν πτερῶν μαλακή, ἡ δὲ τῆς πέτρας σκληρά. καὶ καθόλου αἴσθησις ἡ αἰσθητικὴ δύναμις καὶ τὰ ὑποκείμενα τῇ αἰσθήσει, ὡς τὸ νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις, ἀκούειν καὶ τὸ νοεῖν, καὶ παρακούειν τὸ παρανοεῖν, καὶ ἀκούεται ὁμοίως καὶ παρακούεται, καὶ εἰσακούει μὲν ὁ παρακαλούμενος, ὑπακούει δὲ ὁ δοῦλος, ὅθεν

16–18 Psell. Opusc. 55, 1098–1103 ε΄ αἰσθήσεις, ὅτι κατὰ τὸν ἀριθμὸν τῶν αἰσθητῶν καὶ τὰ αἰσθητήρια. ἡ ἁφὴ δοκιμάζει τραχέα, λεῖα, σκληρά, μαλακά, ἅπερ εἰσὶν ἐν τοῖς στερεοῖς, γεῦσις γλυκύ, πικρόν, ἁλμυρόν, ἅπερ ἐν ὑγροῖς, ὄσφρησις δυσώδη, εὐώδη, ἅπερ ἐν ἀτμοῖς, ἡ ἀκοὴ ψόφων καὶ ἤχων γνωστική, ἃ περὶ πληγὴν ἀέρος, ἡ ὄψις περὶ τὰ πνεύματα, ἃ ἐν τῷ λεπτοτάτῳ καὶ αἰθεροειδεῖ πνεύματι. **19–22** Cf. schol. I 6 (p. 4, 17) ad ἀκούω.

2 γὰρ post δυνατὸν om. n **4** κατάφορος f καὶ τάφρου n **8** ἡ φαντασία n **10** λακὴ g | γενομένη g[a.c.] n | ἀφρόδους f **14** καὶ ἐπὶ τοῦ ὀσφρωμένου g n ἐπί om. f ὀσφραινομένου q **17** [τὰ] θ̣ερμὰ n **18** [τρα]χέα n **19** [καὶ] καθόλου n **21** ἀκούει n **21–22** καὶ παρακούειν τὸ παρανοεῖν om. g

ὑπήκοος· ἀντακούει δὲ ὁ πρότερος εἰπών, εἶτα συμβαίνουσαν τῇ ἑαυτοῦ ἐρωτήσει δεχόμενος τὴν ἀπόκρισιν. *fgnq*

X 18 (p. 241, 4) ‹τὸν κριόν·› κριὸς ἐπὶ τῶν προβάτων τὸ ἄρρεν· ἐπὶ δὲ τῶν αἰγῶν τὸ ἄρρεν κοινῶς μὲν ὁ τράγος, ποιητικῶς δὲ ὁ αἴξ. κριὸς δὲ λέγεται καὶ ὄργανον τειχομαχικόν. *fgnq* mosch

X 18 (p. 241, 4) ‹τό·› ἰστέον ὅτι τὸ ΤΟ τὸ ἄρθρον οὐδέποτε κουφίζεται, ἀλλ' ἀεὶ συναλείφεται, καὶ εἰ μὲν μετὰ τοῦ Ι εἰς Ο καὶ Ι δίφθογγον, οἷον τὸ ἱμάτιον θοιμάτιον, εἰ δὲ μετὰ τοῦ Α εἰς Α, οἷον τὸ ἀληθὲς τἀληθές, εἰ δὲ μετὰ τοῦ Ο ἢ Ε εἰς ΟΥ δίφθογγον, οἷον τὸ ἔμπροσθεν τοὔμπροσθεν, τὸ ἔπος τοὖπος, τὸ ἔμπαλιν τοὔμπαλιν, τὸ ὄνομα τοὔνομα. καὶ πάντα δὲ τὰ ἄρθρα συναλείφονται· τὸ μὲν Ο τῆς εὐθείας τοῦ ἀρσενικοῦ μετὰ τοῦ Ε εἰς Α, ὁ ἕτερος ἅτερος, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων πτώσεων, τοῦ ἑτέρου θατέρου. τὸ δὲ Ω τῆς δοτικῆς μετὰ μόνου τοῦ Α συναλείφεται εἰς αὐτὸ πάλιν τὸ Α, οἷον τῷ ἀνδρὶ τἀνδρί. ἐπὶ δὲ τῶν θηλυκῶν τὸ Η καὶ Ε εἰς Α, οἷον ἡ ἑτέρα ἁτέρα, καὶ ἐπὶ τῶν ἄλλων πτώσεων ὁμοίως, τῆς ἑτέρας θατέρας. *fgnq* mosch

X 18 (p. 241, 4) ‹ἕξ·› τὸ ἕξ εἰ συντεθῇ μετά τινος ἀπὸ συμφώνου ἀρχομένου τρέπει τὸ Ξ εἰς Κ, οἷον ἑκκαίδεκα ἑκκαιδέκατος· ἀπὸ τούτου ἕκτος ὁ ἔσχατος τῶν ἕξ, ὥσπερ ἀπὸ τοῦ πέντε πέμπτος καὶ ἀπὸ τοῦ ἑπτὰ ἕβδομος, τραπέντος τοῦ Π εἰς Β καὶ τοῦ Τ εἰς Δ, οὐκ ἔξω λόγου, μέσον γὰρ τὸ μὲν Β τοῦ Π καὶ Φ, τὸ δὲ Δ τοῦ Θ καὶ Τ· καὶ ἀπὸ τοῦ ὀκτὼ ὄγδοος κατὰ τὴν τοιαύτην ἀκολουθίαν. οἱ ποιηταὶ δὲ τὸ δέκατος καὶ ἑνδέκατος καὶ τοῖς τοιούτοις ἀκολουθήσαντες ἑβδόματος κἀνταῦθα φασὶ καὶ ὀγδόατος. ἰστέον δὲ ὅτι πρὸς μὲν τὴν ἐρώτησιν τοῦ πόσος ἀποκρινόμεθα δέκα τυχὸν mosch

1–2 Planud. Epim. p. 68 Lindstam ἀκούει μὲν ὁ ἁπλῶς λέγοντος ἀκούων. ἀντακούει δὲ ὁ εἰπὼν πρότερος, εἶτα τοῖς αὐτοῦ λόγοις συμβαίνουσαν δεχόμενος τὴν ἀπόκρισιν. [Moschop.] Voc. Att. s.v. ἀντακούω δὲ πρότερος μὲν εἰπών, εἶτα τοῖς ἐμαυτοῦ λόγοις συμβαίνουσαν τὴν ἀπόκρισιν δεχόμενος. **3–5** Choer. in Theodos. I p. 289, 20–23 ὅτι γὰρ λέγεται καὶ ὁ αἴξ ἀρσενικῶς, ἐδήλωσεν ὁ ποιητὴς εἰπὼν (Hom. Il. IV 105–106) «αὐτίκ' ἐσύλα τόξον ἐΰξοον ἰξάλου αἰγὸς ἀγρίου, ὅν ῥά ποτ' αὐτὸς ὑπὸ στέρνοιο τυχήσας [βάλε] Πέτρης ἐκβαίνοντα».

8 διφθόγγου $g^{a.c.}$ n | τὸ ἱμάτιον τὸ θοιμάτιον n | εἰ δὲ μὲ τὰ f **12** τὸ μὲν τὸ Ο n **15** οἷον τῷ ἀνδρὶ f q οἷον om. n οἷον ὦ ἀνδρὶ g **17** θατ[έρας] n καθετέρας q **19** ἀρχομέ[νου] τρέπεται n | ἓξ καὶ δέκα ἑκκαιδέκατος n **24** ἐν τοῖς τοιούτοις n **26** τοῦ πόσου n

ἢ ἕνδεκα, πρὸς δὲ τοῦ πόστος τὸ δέκατος καὶ ἐνδέκατος καὶ τὰ τοιαῦτα· ἄμφω γὰρ ταῦτα τὸ πόσος καὶ πόστος ἐπὶ διωρισμένου μὲν ποσοῦ λέγεται. διαφέρει δὲ τῷ τὸ μὲν ἀριθμὸν ζητεῖν, τὸ δὲ πόστος ἀριθμοῦ, μόριον τὸ ἔσχατον καὶ μέχρι τίνος προῆλθε τί, διὸ καὶ εἰς ΣΤΟΣ λήγει, κατὰ τὴν ἀκολουθίαν τοῦ τέταρτος, ἑκκαιδέκατος, πολλοστός. *fgnq*

mosch **X 18 (p. 241, 4)** ‹ἓξ μηνῶν·› ἐπὶ τῶν ‹μηνῶν› τῶν χειμερίων. *n*

mosch **X 18 (p. 241, 5)** ‹ἀριστερᾶς·› ἐπάνω. *n*

mosch **X 18 (p. 241, 5)** ‹κεῖσθαι·› κεῖσθαί ἐστι τὸ ἔχειν πως θέσιν ἐν τόπῳ. διαιρεῖται δὲ εἰς τρία, εἰς τὴν ἀνάκλισιν, τὴν καθέδραν καὶ τὴν στάσιν, καὶ ἔγκειται μὲν τίς τινι δεόμενος, ἤγουν προσμένει. σύγκειται δὲ δύο τινά· καὶ συγκείμενα τὰ συντιθέμενα ἢ τὰ συμπεφωνημένα, οἷον παρὰ τὰ συγκείμενα ἐποίησεν. προκείμενον δὲ τὸ ἔμπροσθεν ἢ τὸ πρότερον τινὸς κείμενον. παράκειται ἀντὶ τοῦ πλησίον κεῖται, ἀντίκειται ἀντὶ τοῦ ἐναντιοῦται, ἐπίκειται δέ τινι νόσος ἤ τι τοιοῦτον, καὶ περίκειται μέν τινι στέφανος, ἐπίκειται δὲ πῖλον, καὶ περίκειμαι ὄνομα καλὸν ἢ πλοῦτον ἢ ἀρετήν. ἀπόκειται δὲ χρήματα καὶ ἀποκείμενα καὶ ἀπόθετα ἐπὶ τῶν φυλακῆς ἀξίων πραγμάτων, ἃ καὶ κειμήλια λέγεται. ὑπόκειται τῷ ζῴῳ ὁ ἄνθρωπος, καὶ ὑπόκειται παρ' Ὁμήρῳ ὁ Ἀγαμέμνων βασιλεὺς τῶν Ἑλλήνων, καὶ ὑποτίθεται τοῦτον οὗτος βασιλέα. ὑποτίθεμαι δὲ καὶ τὸ συμβουλεύω, ὅθεν κοινῶς μὲν ὑποθήκη ἡ συμβουλή, ποιητικῶς δὲ ὑποθημοσύνη. ὑποθήκη λέγεται καὶ τὰ διδόμενα τοῖς δανείζουσι κατέχειν ἕως ἂν αὐτοῖς ἀποκαταστῶσι

10–12 [Archyt.] p. 5, 10–11 ὁ γὰρ περιτιθέμενος καὶ αὐτὸς πάντως κεῖταί που κατὰ μίαν τινὰ τοῦ κεῖσθαι θέσιν, στάσιν καὶ καθέδραν καὶ ἀνάκλισιν. **13–14** Schol. Philostr. Im. I 17 p. 240 Webb σύγκειται ἀντὶ τοῦ συντεθειμένον ἐστὶ καὶ ἡρμοσμένον, ἀφ' οὗ συγκείμενα τὰ συντιθέμενα καὶ ἡρμοσμένα καὶ ἀπὸ τούτου τὰ συμπεφωνημένα, οἷον παρὰ τὰ συγκείμενα ἐποίησεν.

1 τῷ δέκατος g q | καὶ τὸ ἐνδέκατος n **2** τὸ πόσος f g q τοῦ πόσου n **3** διαφέρει δὲ τὸ τῷ μὲν ἀριθμὸν f διαφέρει μὲν τῷ τὸ μὲν ἀριθμὸν ([δ]ὲ τό in marg.) n **5** ΤΟΣ n **6** καὶ ἑκκαιδέκατος δέ n | πολοστός n **13** [καὶ συγκε]ίμενα n **14** [πα]ρὰ τὰ συγκείμενα n **16** ἀντίκειται δὲ ἀντὶ τοῦ n **17** ἢ τὸ τοιοῦτον n | τι ante τοιοῦτον om. q **18** περίκειται ὄνομα n **18–19** περιλαμβάνουσι γὰρ ταῦτα οὐκ ἐπίκεινται post ἢ ἀρετήν add. n **20** ἃ κειμήλια g **21–22** ὁ Ἀγαμέμνων ὁ βασιλεὺς n **22** τοῦτον om. n **24** λέγονται n

τὰ χρήματα. διαφέρει δὲ ἐνέχυρον τῷ τὸ μὲν ἐνέχυρον ἐπὶ δακτυλίων λέγεσθαι καὶ ζωνῶν καὶ ἑτέρων τοιούτων κινητῶν, τὴν δὲ ὑποθήκην ἐπὶ οἰκιῶν καὶ ἀγρῶν καὶ τῶν ἄλλων ὅσα ἀκίνητά ἐστι. συνθήκη δὲ ἡ συναρμογὴ δύο τινῶν ἢ λίθων ἢ ξύλων, καὶ ἡ συμφωνία ὃ λέγεται καὶ σύνθημα οὐδετέρως, καὶ ποιητικῶς συνθεσία. *fgnq*

X 18 (p. 241, 5) ‹καθεύδειν·› a. τὸ καθεύδειν, τὸ κοιμᾶσθαι καὶ τὸ ἰαύειν ὡς ἐπὶ τὸ πολὺ μὲν τὸ ὑπνώττειν δηλοῦσιν, ἐνίοτε δὲ καὶ ψιλὴν κατάκλισιν ἐπὶ τῆς εὐνῆς, ὡς ἐν τῷ «ἔνθα κάθευδεν ἀναβάς» (Hom. Il. I 611) καὶ «πολλὰς μὲν νύκτας ἀύπνους ἰαύον» (Hom. Il. IX 325) καὶ «Εὐρυνόμη δ᾽ ἄρ᾽ ἐπὶ χλαῖναν βάλε κοιμηθέντι» (Hom. Od. XX 4), ἤγουν πεσόντι. *fgnq* mosch

b. ὑπνώττειν. *n* mosch

X 18 (p. 241, 6) ‹αἱρῇ·› κρατῇ. *n* mosch

X 18 (p. 241, 6) ‹περιλαμβάνῃ ὕπνος·› περιλαμβάνει ὁ ὕπνος καὶ περιχεῖται, οὐκ εἰσδύεται, ὅθεν νήδυμος παρὰ τοῖς ποιηταῖς λέγεται, παρὰ τὸ ΝΗ στερητικὸν μόριον καὶ τὸ δύω, ἀφ᾽ οὗ δίδυμοι ἄνδρες δύο δηλονότι ἀπὸ μιᾶς καταδύσεως. ἑνικὰ δὲ τοῦτο οὐκ ἔχει, τὰ δύο γὰρ οὐδέποτ᾽ ἂν ἓν γένοιτο. ἐπὶ δὲ κυρίου ὀνόματος οὐδὲν κωλύει ὁ Δίδυμος λέγεσθαι. *fgnq* mosch

7–12 Porph. Quest. Hom. p. 32 MacPhail καὶ γὰρ τὸ “καθεύδειν” ἐνίοτε δηλοῖ τὴν ψιλὴν κατάκλισιν ἐπὶ τῆς εὐνῆς, εἴπερ καὶ τὸ κοιμηθῆναι καὶ τὸ ἰαύειν. [Moschop.] Voc. Att. s.v. τὸ καθεύδειν τὸ κοιμᾶσθαι τὸ ἰαύειν. δηλοῦσι μὲν τὸ ὑπνοῦν, ἐνίοτε δὲ λαμβάνονται καὶ ἐπὶ τῆς ψιλῆς κατακλίσεως. Cf. scholl. I 8 (p. 5, 7) ad καθευδούσας et I 8 (p. 5, 9) ad καθεύδουσιν. **14** Cf. scholl. I 4 (p. 3, 20) ad τὸν ᾑρημένον et I 33 (p. 16, 7) ad αἱρεῖν. **15–20** Eust. in Il. v. 1 p. 252, 20–22 ὥσπερ δὲ ἀπὸ τοῦ δύω δύμος καὶ νήδυμος, οὕτω καὶ δύμος δίδυμος· δίδυμοι γὰρ οἱ ὄντες δύο ἐν γαστρὸς καταδύσει μιᾷ. οἱ δὲ νήδυμον ὕπνον φασὶ τὸν ἡδὺν πλεονασμῷ τοῦ νῦ. Moschop. Sched. p. 102 δίδυμοι δύο ἀπὸ μιᾶς καταδύσεως τῆς γαστρός, ὅπερ ἑνικὰ οὐκ ἔχει. Schol. Hom. Il. II 2c[1] νήδυμος· Ἀρίσταρχός φησιν ἐκ τοῦ δύνω δύμος καὶ ἐν ἐπεκτάσει νήδυμος (ὅθεν καὶ οἱ δίδυμοι δύο ἐκ μιᾶς καταδύσεως τῆς γαστρός).

1 ἐνέχυρον[1] ἐνεχύρου n q **2** λέγεται n **10** πολλὰς [μὲν] n **16** περιχεῖ[ται] n **17** καὶ τοῦ δύω g q **18** δύο post δηλονότι transp. n **19** γένοιντο f

mosch **X 18 (p. 241, 6)** ‹ὕπνος·› ἀπὸ τοῦ ὕπνος ὑπνόω ὑπνῶ καὶ ὑπνώττω ἐπὶ ταὐτοῦ, καὶ ἀμφότερα γὰρ ἀμετάβατα. ἐπὶ δὲ τοῦ τυφλοῦν καὶ τυφλώττειν οὐχ οὕτως ἔχει· τυφλόω γὰρ τυφλῶ ἕτερον· τυφλώττω δ᾽ ἐγὼ ἀντὶ τοῦ τυφλός εἰμι. *fgnq*

mosch **X 18 (p. 241, 7)** ‹ἔμπαλιν·› κατὰ τὸ ἀντίστροφον. *n*

mosch **X 18 (p. 241, 7)** ‹ἀναπαύεσθαι·› παρὰ μὲν τὸ ἀναπαύεσθαι ἀνάπαυσις, ὃ καὶ ἀνάπαυλα λέγεται, παρὰ δὲ τὸ καταπαύειν κατάπαυσις μέν, οὐ μὴν δὲ καὶ κατάπαυλα. *fgnq*

mosch **X 18 (p. 241, 7)** ‹κατὰ δὲ τῆς δεξιᾶς·› a. δεξιὰ χεὶρ καὶ ἀπὸ τούτου δεξιὸν τὸ ἐπιτήδειον καὶ τὸ ἀγαθόν, ὡς πετόμενος ὄρνις δεξιὰ σήματα φέρει, ἤγουν ἀγαθά, καὶ δεξιὸν οὐδὲν ἡ τύχη ὑπὲρ ἐμοῦ ἐβουλεύσατο. *fgnq*

mosch b. ἐπάνω. *n*

mosch **X 18 (p. 241, 7)** ‹κεῖσθαι·› πλευρᾶς δηλονότι. *n*

mosch **X 18 (p. 241, 7)** ‹οὐκοῦν·› οὔκουν ἐπίρρημα ἀρνητικόν, οὐκοῦν δὲ σύνδεσμος συλλογιστικός. *fgnq*

mosch **X 18 (p. 241, 8)** ‹κατάκλισιν·› ἀνάκλισις ἐπὶ τοῦ διόλου κεῖσθαι καὶ μὴ μέρος μὲν κεῖσθαι, μέρος δὲ ἵστασθαι ὡς ἐπὶ τοῦ καθημένου, καὶ κατάκλισις ὁμοίως. ἀνάκλησις δὲ διὰ τοῦ Η ἡ ἀναζήτησις καὶ ἡ ἀνόρθωσις καὶ ἡ ἀνάκτησις. μετὰ δὲ τῆς ΕΝ ἐγκλίνεσθαι τὸ ἔν τινι κεκλίσθαι ὡς ἐπὶ κλίνης νοσῶν, ὅθεν ἐγκλινόμενα ῥήματα καὶ ὀνόματα τὰ ἐφ᾽ ἑτέρῳ κεκλιμένα, οἷς καὶ τοῦ

1–4 [Moschop.] Voc. Att. s.v. τυφλώττω ἀντὶ τοῦ τυφλός εἰμι. τυφλόω δὲ τυφλῶ ἕτερον. ὑπνῶ δὲ καὶ ὑπνώττω ταὐτόν. s.v. ὑπνῶ καὶ ὑπνώττω ταὐτόν. Schol. Philostr. Im. I 2 p. 219 Webb τυφλόω τυφλῶ ἕτερον, τυφλώττω δὲ ἐγώ, ἀντὶ τοῦ τυφλός εἰμι. ὑπνόω δὲ ὑπνῶ, καὶ ὑπνώττω τὸ αὐτό. **5** Cf. schol. I 49 (p. 21, 26) ad ἔμπαλιν. **6–8** Thom. Mag. Ecl. p. 36, 3–4 ἀνάπαυσις καὶ κατάπαυσις γράφεται· ἀνάπαυλα δὲ μόνον, οὐχὶ κατάπαυλα. **9–12** Cyr. δ 105 Hag. δεξιός· ἀγαθός. Syn. δ 94 δεξιός· ἀγαθός, ἐπιτήδειος (Su. δ 232; Phot. δ 186). **15–16** Ptol. Diff. voc. p. 403 Heylbut οὔκουν παροξυτόνως μὲν τὸ καταφατικόν, ἴσον ὂν τῷ οὐχὶ οὖν οἷον οὔκουν ἀπιστεῖν, οὐκοῦν δὲ περισπωμένως σύνδεσμος συλλογιστικὸς καὶ σημαίνει ἀπόφασιν.

2 ἐπὶ τοῦ αὐτοῦ n **3** τυφλώω f **4** δὲ ἐγὼ n **6** ἀναπάβεσθαι g **8** καὶ ante κατάπαυλα om. f **10** καὶ τὸ ἀγαθόν f g q τὸ om. n **11** σήματα φαίνει g q **15–16** δὲ post οὐκοῦν om. q **20** καὶ ἀνόρθωσις καὶ ἡ ἀνόρθωσις διὰ τοῦ Ι καὶ ἡ ἀνάκτησις g καὶ ἡ ἀνόρθωσις διὰ τοῦ Ι, καὶ ἡ ἀνάκτησις om. f n q : καὶ ἡ ἀνόρθωσις καὶ ἡ ἀνάκτησις dub. scripsi **22** τὰ ante ἐφ᾽ ἑτέρῳ om. g

οἰκείου μεταδιδόασι τόνου καὶ ὑπ' ἐκείνων κουφίζονται. καὶ ἐγκέκλιται τὰ ζυγοστατούμενα καὶ εἰς μέρος ῥέποντα, ὅθεν ἔγκλισις ἡ ῥοπὴ τοῦ λογισμοῦ πρός τι, ἤγουν ἡ βούλησις. ἀπὸ τοῦ προτέρου ἔγκλιμα ἐν ᾧ κατακλίνεται ὁ κυβερνήτης, ἔγκλημα δὲ διὰ τοῦ Η ὁ φόνος ἤ τι τοιοῦτον ἀπὸ τοῦ ἐγκαλεῖν, ὅθεν καὶ τὰ ἐγκληματικὰ πράγματα. μετὰ τῆς ΕΙΣ εἰσκαλεῖν τὸ εἴσω τινὰ καλεῖν, μετὰ τῆς ΕΞ ἐκκλίνειν τὸ ἀποφεύγειν. ὄνομα δὲ ἔκκλητος καὶ ἐκκλησία διὰ τοῦ Η ἀπὸ τοῦ καλεῖν. ἰστέον δὲ ὅτι ὅπερ ἐπὶ τοῦ συνηθροισμένου πλήθους ἐν δικαστηρίῳ ἢ ἐπὶ τῶν πωλούντων καὶ ὠνουμένων ἀγορὰ λέγεται· καὶ ἐπὶ τοῦ βουλευτηρίου βουλή, ἤγουν τὸ συνηθροισμένον τῶν βουλευτῶν πλῆθος· τοῦτο ἐπὶ τῶν συνελθόντων ἐπὶ ζητήσει θείων πραγμάτων ἔκκλητος λέγεται καὶ ἐκκλησία καὶ σύνοδος. καὶ προσκαλεῖται μέν τις εἰς συμμαχίαν τινά, ὅθεν πρόσκλησις ἐπὶ τούτου, προκαλεῖται δὲ τὸ στράτευμα τὸ ἀντίπαλον αὐτῷ μέρος εἰς μάχην, ὅθεν πρόκλησις ἐπὶ τούτου. καὶ μετακλίνειν μὲν τὸ μεταπίπτειν, μετακαλοῦμαι δέ τινα, ἤγουν εἰς ἐμαυτὸν διά τινος ἄγω. καὶ παρακαλῶ μὲν τὸν θεόν, ὅθεν παράκλησις, καὶ παρακαλεῖ με τὰ πράγματα, ἤγουν ἕλκει καὶ παρακινεῖ με, παρακλίνω δὲ τὴν δίκην, ἤγουν οὐκ ὀρθῶς αὐτὴν ἀλλὰ σκολιῶς κρίνω. καὶ ἐπικαλοῦμαι μὲν τὸν ποιητὴν τοῦ παντός, καὶ ἐπικαλεῖται Ἕλλην τὰ δαιμόνια, ὅθεν ἐπίκλησις δαιμονίων, ἐπικλίνει δὲ ὁ νοσῶν ἑαυτὸν πρὸς τοὺς κουφίζοντας.

8–15 [Moschop.] Voc. Att. s.v. ἀγορὰ τὸ συνηθροισμένον πλῆθος καὶ ὁ τόπος ἐν ᾧ συναθροίζεται καὶ ὁ τόπος ἐν ᾧ πωλεῖται τὰ ὤνοια (l. ὤνια). s.v. προσκαλοῦμαι τινὰ εἰς πόλεμον, καὶ πρόκλησις ἐπὶ πολέμου. Schol. Anth. Pal. IX 359, 1 p. 30 Luppino ἀγορὰ τὸ συνηθροισμένον πλῆθος. καὶ ὁ τόπος ἐν ᾧ συναθροίζονται. καὶ ἔνθα πωλεῖται τὰ ὤνια.

1–2 [κα]ὶ ἐγκέκλιται n **2–3** [ἔγ]κλισις n **3** βούλευσις g **6** ἴσω g **7** ὄνομα ἔκκλητος g **10** ἐπὶ τῶν βουλευτηρίων n **11** τὸ συνηθροισμένον τῆς βουλῆς πλῆθος g τὸ τῶν βουλευτῶν συνηθροισμένον πλῆθος n **12** λέγεται om. n **18** παρακαλεῖ μετὰ πράγματα g **19** παρακλίνω δέ τοι δίκην q **19–20** οὐκ ὀρθῶς ταύτην n **22** ν[οσῶν] n

ἰστέον δὲ ὅτι παρ' Ὁμήρῳ ἡ κλίσις τὴν περιοχὴν σημαίνει καὶ τὰ ἐπ' αὐτοῦ ἐσχηματισμένα ῥήματα ὡς οἱ Τρῶες παρ' αὐτῷ κατὰ ἄστυ πεφυζότες καλῇσιν ἐπάλξεσιν εἰσὶ κεκλιμένοι, ἤγουν περιεχόμενοι, καὶ Ἀχαιοὶ σάκε' ὤμοισι κλίνουσιν (cf. Il. XXII 1–4), ἤγουν περιέχουσιν· ἀπὸ γὰρ τοῦ κλείω τοῦτο ποιεῖ, καὶ δῆλον ἀφ' ὧν ἀλλαχοῦ λέγει· «οὐδὲ πύλησιν εὗρ' ἐπικεκλιμένας σανίδας» (Il. XII 120–121). *fgnq*

mosch **X 18 (p. 241, 8)** ‹ἀμείβει·› a. ἀμείβειν τὸ ἀλλάττειν, παραμείβειν δὲ τὸ παρέρχεσθαι, καὶ ἀμείβομαι ποιητικῶς τὸ ἀποκρίνομαι. *fgnq*

mosch b. ἀλλάττει. *n*

X 19 (p. 241, 15) ‹ἀνηρτημένας·› ταῖς ἐλπίσι δηλονότι. *L*[1]

1–7 Porph. Quaest. Hom. p. 222–224 MacPhail ἠγνόησαν οἱ πολλοὶ ὅτι ἡ "κλίσις" παρ' Ὁμήρῳ τὴν περιοχὴν σημαίνει, καὶ πάντα τὰ ἐσχηματισμένα ἀπ' αὐτῆς ῥήματα, οἷον «οἱ δὲ ῥηγμῖνι θαλάσσης κεκλίαται, χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες» (Il. XVI 67–68). λέγει γὰρ ὅτι περιεχόμενοι ὑπὸ τῶν Τρώων ἐπὶ ῥηγμῖνι θαλάσσης συνηλάθησαν. οὕτως λύσεις καὶ τὸ «ὣς οἱ μὲν κατὰ ἄστυ πεφυζότες ἠύτε νεβροὶ ἱδρῶ ἀπεψύχοντο πίον τ' ἀκέοντό τε δίψαν, κεκλιμένοι καλῇσιν ἐπάλξεσιν· αὐτὰρ Ἀχαιοὶ τείχεος ἆσσον ἴσαν, σάκε' ὤμοισι κλίναντες» (Il. XXII 1–4). λέγει γάρ· περιεχόμενοι τῷ τείχει οἱ Τρῶες, οἱ δ' Ἀχαιοὶ τὰ σάκη περιέχοντες τοῖς ὤμοις. καὶ τὸ «εὗρεν ἔπειτα μάχης ἐπ' ἀριστερὰ θοῦρον Ἄρηα ἥμενον, ἠέρι δ' ἔγχος ἐκέκλιτο καὶ ταχέ' ἵππω» (Il. V 355–356) δηλοῖ περιείχετο· καὶ τὸ «κεῖθ' ἁλὶ κεκλιμένη ἐριβώλακος ἠπείροιο» (Od. XIII 235), κεῖται περιεχομένη. πάλιν ὡσαύτως καὶ τὸ «ὅς ῥ' ἐν Ὕλῃ ναίεσκε μέγα πλούτοιο μεμηλὼς λίμνῃ κεκλιμένος» (Il. V 708–709) δηλοῖ περιεχόμενος. καὶ τὸ «οἳ δὴ νῦν ἕαται σιγῇ, πόλεμος δὲ πέπαυται ἀσπίσι κεκλιμένοι» (Il. III 134–135) ἀντὶ τοῦ περιεχόμενοι ὑπὸ τῶν ἀσπίδων. γέγονε δὲ ἀπὸ τοῦ κλείω· τὸ γὰρ ἀποκλεισθὲν περιέχεται· «οὐδὲ πύλησιν εὗρ' ἐπικεκλιμένας σανίδας» (Il. XII 120–121). τὸ δ' αὐτὸ παρίστησι καὶ τὸ «ἀλλ' ἐν γὰρ Τρώων πεδίῳ πύκα θωρηκτάων πόντῳ κεκλιμένοι ἑκὰς ἥμεθα (Il. XV 739–740), ἀντὶ τοῦ ὑπὸ τοῦ πόντου περιεχόμενοι. **8–10** Georg. Lacap. Epim. pp. 69, 22–70, 4 Lindstam ἀμείβειν λέγεται καὶ ἀντὶ τοῦ ἀλλάττειν, ὡς παρ' Ἰουλιανῷ (cf. Symp. sive Caes. 4)· «πρῶτος εἰσῄει Τιβέριος, πολλὰ ἀμείβων χρώματα, ὥσπερ ὁ χαμαιλέων». ἀμείβειν λέγεται καὶ ἀντὶ τοῦ διέρχεσθαι καὶ διαβαίνειν, οἷον· πολλοὺς τόπους ἀμείβει, ἀντὶ τοῦ διέρχεται, ὡς ἐνταῦθα καὶ ἐν Θουκυδίδῃ· «καὶ τὴν ἐν τῷ στενῷ τῶν Κορινθίων θάλασσαν ἀμείψαντες». Cf. schol. I 24 (p. 13, 13) ad ἀμείβουσαι.

1 π[αρ' Ὁ]μήρῳ n **1–2** τὰ ἀπ' αὐτοῦ g n q **3** κεκλημένοι g **6** οὐδὲ γὰρ πύλησιν n | εὗρεν ἐπικεκλιμένας g **8** ἀλάττειν g

X 20 (p. 241, 28) ‹δῆγμα·› ὥσπερ μέτρον τὸ μετροῦν καὶ τὸ μετρούμενον οὕτω δῆγμα τὸ δάκνον ὥσπερ ἐνταῦθα καὶ ἡ ἀπὸ τοῦ δάκνοντος πληγή. *L*[1]

X 21 (p. 242, 2) ‹τοὺς Ὀλυμπίους·› θεοὺς δηλονότι. *L*[1]

X 21 (p. 242, 4) ‹ἐξαρπαζομένων·› ὑπὸ τῶν κροκοδείλων δηλονότι. *L*[1]

X 21 (p. 242, 8) ‹περσεῶν·› περσέα ἡ ῥοδακινέα. *L*[1]

X 21 (p. 242, 22) ‹ἐμβάλλουσιν·› εἰς τὰς λίμνας δηλονότι. *L*[1]

X 24 (p. 244, 8) ‹λεπίσι·› λεπίδας νοήσειεν ἄν τις τὰ φλούδια ὡς τὰ τοῦ λάβρακος ἢ τὰ τοῦ κεφάλου καὶ τῶν τοιούτων. φολίδας ὡς τὰ τοῦ συάκου καρφ[ία]. *L*[1]

X 24 (p. 244, 21) ‹ἀπόμοτον·› γράφεται ἀπότομον. *L*[1]

X 27 (p. 246, 3) ‹πτοίαν·› γράφεται ἀσχολίαν, ὡς φαμὲν ἐπτόητο ὁ δεῖνα περὶ λόγους. *L*[1]

X 27 (p. 246, 6) ‹ἐξηνέμωται·› δίκην ἀνέμου τρέχει. *L*[1]

X 28 (p. 246, 12) ‹ἔχουσι·› διάκεινται. *L*[1]

X 29 (p. 246, 30) ‹σχῆμα·› τὴν θέσιν. *L*[1]

X 29 (p. 247, 18) ‹δοκεῖ·› ἀληθὲς δηλονότι. *L*[1]

X 30 (p. 248, 2) ‹τοῖς ὀστράκοις·› τοῖς ἐλύτροις. *L*[1]

X 34 (p. 249, 20) ‹συνανήχθησαν·› συνέπλευσαν. *L*[1]

X 34 (p. 249, 22) ‹μοιχείοις·› a. μοιχίοις ἤγουν ἐφόροις μοιχείας ὁ δεῖνα διὰ τοῦ Ι γράφει. καὶ ζήτει. ὡς ἀπὸ τοῦ μοιχὸς μοίχιος. *L*[1]

b. ἐφόροις μοιχείας. *L*[1]

